# GREGORII ACINDYNI EPISTULAE SELECTAE IX

Ex codice Veneto Marciano 155

Edidit Raymundus-J. Loenertz O.P.

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΑΚΙΝΔΥΝΟΥ ΕΠΙΣΤΟΛΑΙ

## *1*

### *Τῶι Μονεμβασίας*

IACOBO CUCUNARIO, METROPOLITAE, MONEMBASIAM

*Scripta Constantinopoli, ann. 1344 - 1346*

Concertatoriis in Gregorium Palamam orationibus antea notus, suffectus nuper Isidoro sede pulso, Monembasiae metropolita ( Iacobus ), trinas Acindyno, et metropolitae Corinthiorum ( Hyacintho ) et Georgio Lapithae Cyprio litteras misit, breves quidem, sed haud impares vi scriptis illis fusioribus, nec minus in adversarium acres. Legit singulas Acindynus atque probavit. Auctorem laudat, hortaturque paria scribat, tum ad omnes ecclesias, cum ad Thessalonicenses eorumque recens ordinatum pastorem, Hyacinthum Cyprium, ex monacho Hodegetriae. Maximum quippe Thessalonicensibus imminere periculum a commoratis ibi perdiu Isidoro Palamaque. Quorum praeter polytheismum etiam messalianismus erroris portio sit, cum se Deum oculis corporeis cernere contendant. Haeresim istam, in Monte Sancto et Constantinopoli, et Thessalonicae grassantem, auctorem habere Georgium (Larisaeum), qui Thessalonicae contubernalis fuerit Isidoro. Quem, impietatis olim convictum et populari tumultu Thessalonica pulsum, nunc in Atho monte deprehensum et inusta cruce notatum, inde quoque exulari coactum esse. Totius sectae ducem feminam esse, nomine Porinam, quam Isidorus, ex discipulis eius, sed et ipse Palamas deam potius quam prophetida habeant. Mittere se cum epistula Dialogum « viperinum », i.e. a Palama editum, ut metropolita demonstrare valeat nullis ab Acindyno calumniis affici Palamam, idemque ratione et opera foedum revincat errorem.

(f. 71v) *μγ΄. Οὐκ ἄρα δύναται ταὐτὸ λόγος ἀνδρὸς ὁ αὐτὸς ἀρχομένου τε καὶ ἀρχὴν μεταχειριζομένου, καὶ δὴ σοφῶς εἴρηται τῇ τραγῳδίᾳ « λόγος γὰρ ἔκ τ' ἀδοξούντων κἀκ τῶν δοκούντων ἰὼν αὐτὸς οὐ ταὐτὸ σθένει ». ἂν δὲ*

---

*1.* Inscriptio : *Iacobo ;* v. G. Mercati, Notizie di Procoro e Demetrio Cidone... ( Studi e Testi 56), Città del Vaticano, 1931, p. 223, n⁰ 40, ex codice Vaticano graeco 1096, f. 29v. *Cucunario :* P.G., t. 152, col. 1293.

2 - 3 Eur., Hec. 294 - 295.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

καὶ ἱερὰν ἀρχὴν ἄρχῃ τις, ἡλίκον τὸ τῆς δυνάμεως. ἂν δὲ καὶ μετὰ τοῦ ἀληθοῦς ᾖ τεταγμένος καὶ δικαιοσύνης προεστηκὼς καὶ τῆς εὐσεβείας ὑπερμαχῶν, ἐνταῦθα τὸ ἄμαχον. σὺ γάρ, ὦ θειότατε, ἠγώνισαι μὲν λόγοις λαμπροῖς καὶ γενναίοις ἐνταῦθα κατὰ τῆς Παλαμᾶ δυσσεβεστάτης πλάνης, εὐδοκίμηκας δὲ παρὰ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ κατὰ τὸν τοῦ δικαίου λόγον, ἐπέβης δὲ τοῦ θείου τῆς ἀρχιερωσύνης ὕψους, οὐ προῖκα κατά τινας οὐδὲ πρὶν παρασχέσθαι τὸν ἄξιον τοῦ ἀξιώματος ἐκ τῶν ὑπὲρ τῆς ἐκκλησίας ἀγώνων καὶ τῶν θείων δογμάτων, ἀλλ' ἆθλον ἔλαβες τὸν θρόνον ἀντὶ τῶν ὑπὲρ τῆς εὐσεβείας ἄθλων, καὶ κινδυνεύοντα τὸν τῆς Πελοποννήσου προεστηκότα θρόνον τὸ Παλαμναῖον ἀναδεδέχθαι κακὸν ἀντιπαραταξάμενος καθεῖλες μὲν ἐκεῖνο μετὰ τῆς ἐκκλησίας, ἐξήρπασας δὲ τὸν θρόνον κακοῦ τοσούτου τῆς Ἰσιδώρου πλάνης, ἠξίωσαι δὲ καὶ τούτου δικαίως παρὰ τοῦ Πνεύματος. μᾶλλον δὲ τῆς σῆς σοφίας καὶ ἀρετῆς καὶ θειότητος ὁ θρόνος ἠξίωται. καὶ κοσμεῖται νῦν ἀνδρὶ τοσούτῳ τὸ Δωριέων γένος οὐ καλοῦ κάλλιον, ἀλλ' ἐσχάτου κακοῦ δυσσεβείας τὸ κάλλιστον ἀντειληφότες, εὐσέβειαν, δι' ἀνδρὸς ποιμένος καὶ τἄλλα μὲν τελείου, ἀθλητοῦ δ' εὐσεβείας καὶ πρὶν ἐπιστῆναι τῇ ποίμνῃ τοὺς ἐπιόντας αὐτῇ διεφθαρκότος λύκους. ἐκεῖνα δή σου τοιαῦτα ὄντα καὶ λόγους οὐ βραχεῖς ὑπὲρ τῆς εὐσεβείας, νῦν οὐ μακραῖς ἐπιστολαῖς ὥσπερ ἥλιος ἐπιφανεὶς ἀκτῖσιν ὑπερφαέσιν ἠφάνισας περιουσίᾳ δυνάμεως τῆς ἐκ τοῦ Πνεύματος τοῦ χρίσαντός σε κἀπὶ τὸν χρόνον τῆς ἀρχιερωσύνης καθίσαντος. ἢ μᾶλλον κἀκείνους ἀνῆψας τοὺς λόγους τούτοις εἰς τὸ λαμπρότερον. καὶ γὰρ ἐκεῖνοι τοῦ Μονεμβασίας εἶναι φημίζονται οἷς τότε βληθεῖσα κἀπὶ | f. 72 γόνυ πεσοῦσα ἡ Παλαμναία πλάνη νῦν τοῖς αὐτοῖς ἐκείνοις σὺν τούτοις ἐπιοῦσιν, ὡς εἰκὸς καταπίπτει τελέως διὰ τὴν ἐκ τοῦ χρίσματος ἐπικουρίαν, οἷς ὧδε γράφεις ἡμῖν, οἷς τῷ Κορινθίων ποιμένι ἐκεῖσέ πῃ, οἷς εἰς Κύπρον Λαπίθῃ· οἷς οἱ δεχόμενοι καὶ ψυχροί γ' ἄν τινες ὄντες ἀνήφθησαν, ὄντες δὲ ὅπερ εἰσὶ πρὸς τὸν παρόντα τῆς αἱρέσεως θῆρα πῶς οἴει προσαναφλέγονται. καὶ πάσχουσιν ὑπὸ τούτων ὅ γέ φασιν Ἀλέξανδρον τὸν Μακεδόνα ὑπὸ τῆς Ἀντιγενίδου μουσικῆς. ᾄσαντος γὰρ ἐνυάλιον ἐκείνου οὐκ ἐγκρατὴς

---

7 *Παλαμᾶ* : Gregorius ; vita auctore Philotheo, P.G., t. 151, col. 551 - 656.

8 *ἐνταῦθα* : Constantinopoli.

14 *Ἰσιδώρου* : Thessalonicensis, electus metropolita Monembasiae ( 1341 - 1344 ), sede privatus ( 1344. XI. ), patriarcha oecumenicus ( 1347 - 1350 ) ; vitam, auctore Philotheo Coccino, ed. A. Papadopulos-Kerameus, Žitija dvukh vselenskich patriarkhov XIV v., Sanktpeterburg, 1905, p. 52 - 151.

28 *Κορινθίων* : Hyacinthus ; Mercati, Notizie, p. 223, n⁰ 39.

29 *Λαπίθῃ* : Georgius philosophus ; v. ep. ad eum datam ab Acindyno ; Th. Uspenskij, Sinodik v nedĕliju pravoslavija, Odessa, 1893, p. 75 - 77, ex codice Monacensi graeco 223, f. 4v - 5v, ep. 6.

32 *Ἀντιγενίδου* : Plut., Dem. Poliorc. I,

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*ἣν Ἀλέξανδρος ἑαυτοῦ κἂν εἰ δειπνῶν εὑρέθη, ἀλλ᾽ ὥρμα εὐθὺς ἐφ᾽ ὅπλα καὶ τὴν παράταξιν. ἃ μὲν οὖν πρὸς τὸν γενναῖον καὶ ἱερὸν Κορίνθου, καὶ ἃ πρὸς Λαπίθην τὸν σοφώτατον γράφεις θαυμάζων αὐτοὺς τοῦ κατὰ τῆς Παλαμήτιδος πολυθεΐας μένους, καὶ ἀνέγνωμεν καὶ ἐθαυμάσαμεν καὶ ὅσους ταῦτα — πολλοὺς δὲ — ἀναγνῶναι συνέβη, τοὺς μὲν τῆς ἐκκλησίας ἐφαίδρυνε τοὺς δὲ τῆς ἐναντίας μοίρας κατήσχυνεν, ἢ τῶν μὲν τὴν προτέραν φαιδρότητα, τῶν δὲ τὴν αἰσχύνην ἐδιπλασίασε. γράφε δ᾽ ἀεὶ τοιαῦτα ταῖς ἐκκλησίαις πάσαις καὶ μάλιστα τοῖς Θεσσαλονικεῦσι καὶ τῷ τούτων ποιμένι. ἔστι δὲ οὗτος Ὑάκινθος ὁ θαυμάσιος ὁ τῆς μονῆς οἰκήτωρ Ὁδηγητρίας τῆς παναγοῦς Θεομήτορος. οὗτος γὰρ νῦν ἀρχιερεὺς Θεσσαλονίκης κεχειροτόνηται. ᾧ γράφε δή, καὶ τοῖς ἄλλοις οὓς ὠφελήσεις γράφων, καὶ βοηθήσεις τοῖς σεαυτοῦ πολίταις οἷς οὐκ ὀλίγον ἐνέπαρται τὸ Παλαμναῖον κακὸν παρὰ τὸ χρονίους ἐκεῖ διατετριφέναι τὸν Παλαμᾶν τε καὶ τὸν Ἰσίδωρον. οἶσθα δὲ ὅτι καὶ Μασσαλιανισμὸς μέρος ἐστὶ τῆς ὅλης αἱρέσεως τοῦ Παλαμᾶ. ἡ γὰρ ὁρᾶν φησι σωματικοῖς ὀφθαλμοῖς μορφὴν Θεοῦ φυσικὴν καὶ θεότητα, καὶ Πνεῦμα ἅγιον καὶ ἄναρχον αἰσθητῶς ὑποδέχεσθαι, σαφὴς Μασσαλιανισμός ἐστι πρὸς τῇ πολυθεΐᾳ. αὕτη τοίνυν ἡ αἵρεσις νῦν ἀνεφάνη μετ᾽ αἰσχίστων ἔργων ἑτέρων καὶ εἰκονομαχίας ἐν Ὄρει τῷ ἱερῷ καὶ τῇδε κἂν τῇ Θεσσαλονίκῃ. καὶ πρώτη τῆς πλάνης ταύτης τῆς μετ᾽ αἰσχρότητος αἰτία Γεώργιος ἐκεῖνος, ὁ Ἰσιδώρῳ χρόνον συνῳκηκὼς ἱκανὸν ἐν τῇ Θεσσαλονίκῃ. ὃς φωραθεὶς ἐκεῖ τότε βλασφημῶν εἰς τὰ θεῖα, ἐξώρμησε μὲν καθ᾽ αὐτοῦ τὸν Θεσσα-*

f. 72v *λο|νικέων δῆμον διέφυγε δὲ μόλις τὰς ἐκείνων χεῖρας ἀπ᾽ αὐτῆς τῆς κοινῆς οἰκίας αὐτοῦ τε καὶ Ἰσιδώρου. ὃς αὖθις νῦν φωραθεὶς καὶ φρονῶν καὶ πράττων ἃ μηδ᾽ ἔξεστι λέγειν, σταυροειδῶς ἐστίχθη καυτηρίαις τὸ πρόσωπον καὶ ἀπηλάθη τοῦ θείου Ὄρους ὡς βδέλυγμα τῆς ἐρημώσεως, καὶ πολλοὶ σὺν αὐτῷ σατηρικοὶ καὶ μονάζοντες. ὧν ἄρχουσα ἡ Πορινὴ καὶ θεά τις εὑρέθη, πάσης αὐτοῖς ὑπουργὸς αἰσχρότητος καὶ βδελυρίας, ἧς φοιτητὴς παρ᾽ ὀντινοῦν Ἰσίδωρος γέγονε, καὶ πρὸς ἣν ὁρῶν ὡς πρὸς κανόνα θεῖον πᾶν ὁτιοῦν λέγουσαν καὶ νεύουσαν καὶ σχηματιζομένην καὶ πίνουσάν γε καὶ μέθῃ συνοῦσαν διηνεκεῖ διῆγεν οὗτος, ἐξυμνῶν ὡς προφῆτιν, σὺν Παλαμᾷ τῷ σοφῷ. καὶ νῦν αὐτῆς οὕτως ἔχονται καθάπερ τῆς ὑφειμένης θεότητος,*

---

41 *Ὑάκινθος*: M e r c a t i, Notizie, p. 223, n⁰ 37 ; Acindynus in epistula ad Lapitham supra laudata.

51 *Γεώργιος*: Larissaeus ; Nic. Greg. XIV, 7, 5 - 7 : t. II, p. 718 - 720 ( Bonn ).

57 *βδέλυγμα*: cf. Dan. IX 27 ; Matth. XXIV 15.

58 *σατηρικοὶ*: leg. *σατυρικοί*? *Πορινὴ*: de qua v. Callistum patriarcham ( qui eam Irenen vocat ) in Vita S. Theodosii Tirnoviensis ( slavice tantum ), cap. 14 ; ed. V. N. Z l a t a r s k i, Sbornik za narodni umotvorenija, 20 ( 1904 ) 1 - 41. Edocuit me de his, pro sua doctrina et humanitate, v. cl. M. Lascaris Corcyrensis.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*μᾶλλον δὲ καθάπερ τῆς πάντων ὑπερκειμένης οἱ εὐσεβεῖς. ταῦτα μὲν οὖν οὕτως ἔχει. σὺ δὲ δὴ τὸν διάλογον δέξαι τὸν ἐχιδναῖον· καὶ ὅπως αὐτὸν οὐ μόνον ἐπιδεικνὺς τοῖς ὅτι συκοφαντοῦμεν τὸν Παλαμᾶν συκοφαντοῦσιν ἡμᾶς συκοφάντας αὐτοὺς ἡμῶν ἐναργῶς ἀποδείξεις, ἀλλὰ καὶ λόγους δημιουργήσας τοὺς τῇ σῇ δυνάμει προσήκοντας πρὸς τοῖς προτέροις ἀντιτάξεις τῇ πλάνῃ καὶ διὰ τούτων τοῖς ἁπανταχοῦ γῆς ὁμιλῶν ἀπαλλάξεις τῆς νόσου τοὺς ἐντεῦθεν νοσήσαντας, καὶ τοὺς ἐμπεσουμένους ταύτῃ ἐμπεσεῖν οὐκ ἐάσεις, καὶ ὡς εἰπεῖν θησαυρὸν καταλείψεις τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τιμιώτατον.*

## 2

### *Τῶι ἀρχιδιακόνωι Βρυεννίωι*

BRYENNIO ARCHIDIACONO, THESSALONICAM

*Constantinopoli, 1344 - 1346*

Audivit Acindynus Bryennium impavide restitisse Charatzae, sectatori Palamae, vehementer in pietatem irruenti. Nunc vero, cum et alias istius furor iam subsederit, Thessalonicam petit novus et bonus pastor ( Hyacinthus metropolita ), Palamiticam sectam radicitus evulsurus, magnis in Bryennium officiis et gratia futurus, tam propter praeteritam quam propter speratam in eodem bello societatem. Divina prorsus providentia evenit ut Acindynus et Bryennius, tanta familiaritate ab antiquo nexi, coniunctis etiamnum viribus haereticorum Ecclesiam invadentum exciperent impetum. Ceterum Bryennius ab Acindyno, cui a teneris annis amicus fuit simul et magister, studiose semper curabitur ad usque metas huius vitae, ultraque, si fieri possit. — Epistulam una cum duobus sequentibus detulisse videtur, aut ipse metropolita, aut aliquis ex eius comitatu.

(f. 72v) **μδ'.** *Οὐκ ἀνήκοοι, σοφώτατε δέσποτά μου, τῆς σῆς γενναίας ἐνστάσεως πρὸς τὴν τῆς πίστεως καινοτομίαν ἐμείναμεν, καὶ τοῦτ' ἀκηκόαμεν ἐν τῷ καιρῷ τῆς ἀκμῆς ἐκείνης τῶν ἀλαστόρων παρρησιάσασθαί σου τὴν τελειότητα, ὅτε Χαραιζᾶς ἔπνει σφοδρῶς ὁ δεινὸς Παλαμίτης κατὰ τῆς εὐσεβείας. Νῦν δ' οἶμαι καὶ ἄλλως τῆς Χαραιζᾶ μανίας λελωφηκυίας ἧκε θαυμαστῶς ὑμῖν τῆς ἐκκλησίας τῆς ὑμετέρας ποιμήν, ἵν' αὐτὸν αὐτοῖς προσείπω τοῖς ῥήμασιν οἷς ὁ ποιμαίνων ποιμὴν ἁπάντων καὶ ἀρχιερέων ἀρχιερεὺς πρῶ-*

---

65 *διάλογον*: est in codice Veneto Marciano graeco 155, f. 91v - 98v; incipit *μαθεῖν ἐβουλόμην παρ' ὑμῶν τῶν ζητούντων...*

*2.* Inscriptio: *Βρυεννίῳ;* R. Guilland, Correspondance de Nicéphore Grégoras, Paris, 1927, p. 275, n⁰ vii; P.G., t. 152, col. 1220B - 1223D, praesertim 1222B - 1223A ( 1336. X. 24 ).

4 *Χαραιζᾶς*: ep. 3,9.18-19.21; cf. P.G., t. 152, col. 1327A.

6 *ποιμὴν*: Hyacinthus; epp. 1,41; 3,25-29.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

τον ἑαυτὸν προσηγόρευσε. προσήκων γὰρ οὗτος ἐκείνῳ εἴπερ τις ἄλλος ἀνήρ. f. 73 ἧκε δὲ ποιμανῶν μὲν εὖ καὶ καλῶς καὶ τἄλλα τὴν | ποίμνην τὴν ἑαυτοῦ, τὸ δὲ κεφάλαιον ἐξελὼν αὐτῆς τὴν Παλαμῆτιν νόσον, ἣν ἀγαθοῦ ποιμένος ἐρημίᾳ νενόσηκεν. ᾧπερ οἶμαι κεχαρισμένος ἔσῃ καὶ περισπούδαστος καὶ ὧν αὐτῇ πεπολέμηκας καὶ ὧν τοῦ λοιποῦ συμπολεμήσεις αὐτῷ, καὶ συνεξελᾷς γε τὴν εἰρημένην νόσον. ἡμῖν δὲ οἶμαι κατὰ πρόνοιαν Θεοῦ κἀνταῦθα συνῆλθε τὰ πράγματα, ἵν᾽ ὥσπερ οἰκείως ἀλλήλοις ἐξ ἀρχῆς διεκείμεθα, οὕτως ἔχωμεν κἀν τοῖς ἀγῶσι τοῖς ὑπὲρ εὐσεβείας, ἐν οἷς ἡμᾶς οὕτω προσῆκεν ἔχειν, εἰ καὶ τἄλλα διεφερόμεθα. οὐ γὰρ Θεμιστοκλεῖ μὲν καὶ Ἀριστείδῃ τῷ κατ᾽ αὐτὸν καλῶς εἶχεν ἐπιόντος τοῦ Μήδου διαλελύσθαι τὰ πρώην διάφορα ἵνα τοὺς Ἕλληνας σώσωσιν, ἀνδράσι δ᾽ εὐσεβέσιν ἑτέρως, ἐπιόντος αἱρετικοῦ καὶ δυσσεβοῦς πολέμου ἐπὶ τὴν ἐκκλησίαν. Ἀλλὰ ταῦτα μὲν πρὸς ἄλλους ἡμῖν ἴσως ὑπάρχει λέγειν. σὺ δ᾽ ἡμῖν, ἱερώτατε, καὶ πάλαι καὶ μετὰ ταῦτα καὶ νῦν, καὶ ὡς εἰπεῖν ἐκ παιδὸς ἄχρι τοῦδε, καὶ φίλος καὶ διδάσκαλος, καὶ κομιδῇ περισπούδαστος, καὶ ἔσῃ γε διὰ τέλους, καὶ ζῶσι καὶ μετὰ βίον, οἶμαι, εἴ γέ τις αἴσθησις τοιάδε μετὰ τὸν ὧδε βίον.

## *3*

NESCIO CUI, THESSALONICAM

*Constantinopli, 1344 - 1346*

Virum, cui scribit, nunquam vidit Acindynus, sed ex litteris eius et novit et amavit, pietate refertis. Ut hoc prae ceteris merito captus sit non inde factum est quod reliquas earum dotes aut vili penderet aut parum perspexisset, sed quod, cum tunc maxime nova surrexisset haeresis ( auctore Palama ), peropportune litteris illis et laudabatur Chabarôn, pietatis propugnator, et vituperabatur Charatzas, piorum persecutor. Iste, qui tunc superare videbatur, re tamen vera superabatur ab illis qui eius impie dictis non attendebant. Eam victoriam, in animis piorum reconditam, Deus nunc declaravit, ut sanctissimus praesul ( Hyacinthus ) ostendet, simul ac illuc ( Thessalonicam scilicet ) appulerit. Is virum doctissimum, cui haec epistula mittirur, ob pietatem admirabitur et ob admirationem istam eiusdem civibus valde probabitur. Rogat deinde Acindynus ut, qui dudum litteris ad alios datis captus sit, missis sibi quoque magis atque magis capi possit. — Thessalonicam delata videtur epistula una cum sequenti praecedentique.

(f. 73) **με΄.** Ἄλλοις μὲν ἄλλοθεν ὑπάρχει γνωρίζεσθαι· σὺ δ᾽ ἐμοὶ καὶ πρὶν ὀφθῆναι φίλος καὶ γνώριμος ἀπὸ τῆς εὐσεβείας. ἆρ᾽ οὖν ἠγνόησα τἄλλα;

---

8 *προσηγόρευσε* : Joann. X 11 - 16.
16 *Θεμιστοκλεῖ* : Plut., Them. XII.
*3.* Inscriptio : *Thessalonicam ;* ibi enim degebat Charatzas ille de quo in lin. 9.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*τὴν ἐν τοῖς λόγοις ῥώμην, τὴν ἐν τῇ γλώττῃ χάριν, τὸ ἐπιεικὲς τῶν τρόπων, τὸ τῆς φύσεως μέγεθος; οὐκ ὦ γενναῖε καὶ χαρίτων ἀνάμεστε· ἀλλ' ὅτε ταῦτα προήει, καὶ τοὺς πόρρω λαμπρὰ κατελάμβανε φήμη, συνέβαινε καὶ τοὺς τῆς εὐσεβείας ὅρους παρακινεῖσθαι βεβήλοις καινοφωνίαις καὶ σὲ τούτων ὑπερμαχεῖν ἐκείναις ἀντιταττόμενον, καὶ δεῦρο πέμπειν ἐπιστολὰς ἐν αἷς Χαβάρων ἡμῖν ὁ θαυμαστὸς ἐθαυμάζετο ἀνθ' ὧν τῆς εὐσεβείας ὑπερεμάχει καὶ Χαρατζᾶς ὁ πάντολμος ἐκακίζετο ἀνθ' ὧν τοῖς εὐσεβέσιν ὑμῖν θηριωδῶς ἐπετίθετο μὴ πειθομένοις αὐτοῦ τοῖς ληρήμασι. τότε τοίνυν ἅμα πάντα καθάπερ ἐν ἐσόπτρῳ τοῖς γράμμασιν ἐνεωρῶμεν καὶ πάντα θαυμάζοντες ἐπιεικῶς — οὐ γὰρ ἠναισθητοῦμεν — διαφερόντως τὸ τῆς γνώμης θεοσεβὲς καὶ πρὸς τὰς αἱρετικὰς τῶν* | f. 73v *δυσσεβῶν ἐκβολὰς ἐρρωμένον εἴχομεν δι' εὐφημίας, σοφοῦ γὰρ ἀνδρὸς καὶ γενναίου διάνοια οὐχ ὅταν οὐδὲν ᾖ τοῖς δόγμασιν ἐπηρεάζον γίνεται καταφανής, ἀλλ' ὅταν πόλεμος ᾖ καὶ κρίσις περὶ ψεύδους καὶ ἀληθείας, καὶ μάλιστα τῆς κατ' εὐσέβειαν, καὶ πλείους μὲν ἐκείνου ἥττους δὲ ταύτης οἱ πρόμαχοι καὶ νόμῳ χειρῶν κρατῶσιν οἱ χείρους περὶ τὰ δόγματα. ἃ πάντα οἶμαι τότε συνέπιπτε παρ' ὑμῖν. ἐκράτει γὰρ Χαρατζᾶς, ὡς ἐπέστελλες, μᾶλλον δὲ κρατεῖν ἐδόκει, οὐ λόγοις νοῦν ἔχουσιν ἀλλ' ὕβρει καὶ λοιδορίαις καὶ συκοφαντίαις καὶ χειρῶν αὐτῶν ἔργοις, ὑμῶν τῶν φιλευσεβῶν καὶ τοῖς Χαρατζᾶ δυσσεβέσι μὴ προσεχόντων λόγοις. οἳ δ' ὄντως ἐκρατεῖτε τῷ μὴ προσέχειν αὐτῷ καὶ τὴν ἐκείνου νίκην καὶ τὴν θρασύτητα ἧτταν ἐκείνου καὶ θαυμαστὴν αἰσχύνην ⟨...⟩, τότε μὲν ὑμεῖς, νῦν δὲ καὶ Θεός. Καὶ τότε μέντοι Θεός, ἀλλὰ νῦν περιφανῶς ἀποδείκνυσιν οὖσαν. ὁ δὲ πανίερος ἡμῶν μὲν δεσπότης ὑμέτερος δὲ ποιμὴν φανεὶς παρ' ὑμῖν καὶ τοῦτο δείξει καλῶς, ἢ τοῦτό γε πρὸ πάντων. καὶ σὲ κατὰ τὸ εἰκὸς ἀγάσεται μὲν τῶν ἄλλων, ἀγάσεται δὲ διαφερόντως τῆς εὐσεβείας αὐτῆς, τὸν ἕνεκα πάντων ἀξιοθαύμαστον. εὐδοκιμήσεις δὲ σὺ μὲν παρ' αὐτῷ διὰ τὰ εἰρημένα, ὁ δὲ παρὰ τῇ πόλει καὶ διὰ τὸ σὲ τιμᾶν. ἐμὲ δὲ σὺ ταῖς πρὸς ἑτέρους ἐπιστολαῖς ᾑρηκὼς αἵρει καὶ ταῖς πρὸς ἐμέ. ἡδὺ γὰρ ἐμοὶ τούτοις βεβλῆσθαι τοῖς βέλεσιν ἐνεργεστέροις.*

---

5 leg. *λαμπρᾷ... φήμῃ?*

7-8 *Χαβάρων*: Mercati, Notizie, p. 223 nº 25.

9 *Χαρατζᾶς*: supra, ep. 2,4.

23 *αἰσχύνην κρίνοντες?*

25 *ποιμὴν*: Hyacinthus, metropolita Thessalonicensis (1344 - 1346), supra ep. 1,40; 2,6.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

## 4

## Τῶι Μαγίστρωι

THEODULO MONACHO EX THOMA MAGISTRO, THESSALONICAM

*Constantinopoli, 1344 - 1346*

Phoenice rarius advolare, queritur Acindynus, litteras Magistri, quas uberius fluere Nilo, tum ipse cupiat, tum ille pollicitus esse videatur. Quae quidem litterae commodissimae nunc maxime scriberentur, cum nova surrexerit haeresis, auctore Palama. Istam posteaquam vix non per totam epistulam impugnavit Acindynus, vereri se fatetur ne modulos litterarum excesserit, sine ulla prorsus necessitate. Spem enim alere bonam, fore ut novus ecclesiae pastor ( Hyacinthus, metropolita Thessalonicensis ) qui ad gregem suum profecturus sit, haereticalem pravitatem funditus eradicet. Denuo silentium exprobrat amico, quem certiorem facit eum se novo pastori, futurum in haereticis debellandis socium, indicasse, rogatque ne spem istam fallat. — Et hanc et sequentem atque superiorem epistulas aut ipsi metropolitae aut alicui ex comitibus eius creditam esse facile suspiceris.

(f. 73v) *μς′. Τὴν τοῦ Φοίνικος ἡμῖν ἐμιμήσατο φύσιν, ὡς ἔοικεν, ὁ σοφώτατος Μάγιστρος, διὰ χρόνου φαινόμενος τῷ ἐπιστέλλειν, ὥσπερ Ἰνδοῖς ἐκεῖνος καὶ Αἰγυπτίοις ἐπιδημῶν. ἀλλ᾽ ἡμεῖς γε τὴν γοῦν τοῦ Νείλου φύσιν αὐτὸν μιμεῖσθαι ἠθέλομεν, ἐπετείως ἡμᾶς τοῖς γράμμασιν ἄρδοντα, ἐπειδήπερ οὐκ ἐθέλει πολλάκις ἐνιαυτοῦ. ὁ δ᾽ οἶμαι γράφειν ἡμῖν καὶ παντελῶς ἀπεῖπεν, οὕτω βαθείᾳ σιγῇ πρὸς ἡμᾶς ἐκ πολλοῦ πάνυ χρῆται, αὐτοὺς ἀεὶ γράφοντας. καίτοι τὰ ὕστατα ἐπιστέλλων ἡβῶντί τινι πρὸς τοῦτο τοὔργον ἐῴκει καὶ πάνυ προθυμουμένῳ τοῦ λοιποῦ τοῦτο πράττειν, τῶν τε ἄλλων*
f. 74 *ἕνεκεν ὧν ἡμῖν ἐκ πολλοῦ πρότερον πρὸς ἀλλήλους ὑπῆρχε καὶ ὅτι τοῦ | κοινοῦ τῆς εὐσεβείας λόγου, παρ᾽ ἀνδρὸς καινοτόμου πολεμουμένου ὃν αὐτὸς πολλάκις ληροῦντα πρότερον καὶ σαφῶς πεπλανημένον ἀπέδειξας, ἀντιποιούμεθα καὶ τῆς ἐκκλησιαστικῆς ὁμολογίας καὶ θεογνωσίας οὐκ ἀφιστάμεθα. νῦν δὲ οὐκ οἶδ᾽ ὅπως αὖθις ἐσίγησας, δέον τὴν γοῦν αἰτίαν σημᾶναι τῆς σιωπῆς, ἵν᾽ εἰ μέν τι πλημμέλημα εἴη, διορθωθῇ, εἰ δὲ συκοφαντία, λυθῇ· εἰ δὲ δειλία πονηρῶν στομάτων, ἃ ῥεῖ χειμάρρων δίκην ἐπὶ τοὺς οὐ τῇ καινῇ πίστει ταύτῃ προσρέοντας, ἀλλὰ τοῦτό γε οὐ σοὶ προσῆκεν, ἀνδρῶν ἱερῶν ἱερώτατε, ὃν καὶ τοῖς ἄλλοις προσῆκεν ἐπιτιμᾶν τοῦτο πάσχουσι καὶ παντὸς ὑπερκειμένην ἔχειν τὴν γνώμην, ὃ τούτους ποιεῖ τῶν ⟨εἰς⟩ ὑπερκειμένας καὶ ὑφειμένας θεότητας κατατεμνόντων τὸ θεῖον ἀνέχεσθαι καὶ ἐπὶ*

---

*4.* Inscriptio : *Theodulo ;* ita scripsi, quod virum istum, clarum et doctum et Acindyni magistrum ( v. lin. 30) non alium esse censeo quam Thomam, grammaticum et rhetorem omnibus notum, cognomine Magistrum ; cf. ep. 8,35 et fortasse M e r c a t i, Notizie, p. 223 n⁰ 13.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*τούτῳ τὴν τοῦ Θεοῦ διαιρούντων ἀφειδῶς ἐκκλησίαν, ἀποστασίᾳ καὶ ὕβρει τῆς ἐκκλησίας αὐτῆς. ἣν αἷμα Θεοῦ σαρκωθέντος αὐτῷ συστῆσαν ἐφύλαττεν, οὐκ ἀνεπηρέαστον μὲν πάλαι πονηρῶν αἱρέσεων ἀναισχυντίᾳ, μετ' ἐκείνας δ' οὖν εἰς τόδε πολὺν ἤδη χρόνον ἀνεπηρέαστον. Νῦν δὲ αὖ πάλιν, οὐκ οἶδ' ὅπως, ἀνῆκε πειραθῆναι κακοῦ μηδενὸς τῶν πώποτε μείονος, ἤ, τό γε ἀκριβὲς εἰπεῖν, περιεκτικωτάτου. τίνα γὰρ τῶν φανεισῶν αἱρέσεων οὐ περιέχει; οὐ τὴν Ἑλλήνων πολυθεΐαν; ἀλλὰ πλῆθος θεοτήτων συναϊδίων, ἀνίσων καὶ ἀνομοίων, κηρύττει. τοῦτο δὲ ὅστις οὐ νενόμικεν Ἑλληνισμόν, ὅ τί ποτέ ἐστιν Ἑλληνισμὸς οὐκ οἶδεν. οὐ τὴν Ἀρείου μανίαν καὶ τὴν Μακεδονίου; ἀλλὰ τὴν φυσικὴν τοῦ Θεοῦ καὶ παντουργὸν ἐνέργειαν καὶ σοφίαν καὶ δύναμιν ἐνεργουμένην καὶ ὑφειμένην ἀπειράκις ἀπείρως τῆς θείας ἀποφαίνεται φύσεως. τοῦτο δ' ἦν ἡ τοῦ Ἀρείου νόσος καὶ τοῦ Μακεδονίου. Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, δι' οὗ τὰ πάντα γεγένηται, καὶ δύναμις αὐτοῦ φυσικὴ τὸ Πνεῦμα τὸ παντουργόν. τί δ' οὐχὶ καὶ Σαβελλίου; ἀλλ' ὃς ἀνούσιον εἶναι καὶ ἀνυπόστατον τὴν ἄκτιστον καὶ δημιουργικὴν τοῦ Θεοῦ λέγει δύναμιν — ἡ δέ ἐστιν ὁ Υἱός — σαβελλίζει, τἄλλα γε ὑπεραρειανίζων* f. 74v *καὶ ὑπερελληνίζων. τί δὲ καὶ οὐχὶ Μασσαλιανός; | ἀλλὰ τοῦτό γε καὶ λίαν περιφανές. ὁρᾶν γάρ φησι τὴν ἄκτιστον τοῦ Θεοῦ μορφὴν καὶ δόξαν καθ' ἑαυτὴν σωματικοῖς ὀφθαλμοῖς. μορφὴ γὰρ καὶ οὐσία καὶ φύσις ἐπὶ Θεοῦ ταὐτὸ καὶ οὐκ ἄλλο καὶ ἄλλο, ἵνα μὴ σύνθετος ᾖ, κατὰ τοὺς ὅρους τοὺς περὶ εὐσεβείας τῶν ἱερῶν πατέρων. εἰ δ' ἄλλη μὲν ἐκείνη, ἄλλη δ' αὕτη κατὰ τοῦτον θεότης, ἡ μὲν ὡς ἀόρατος ὑπερκειμένη, ἡ δὲ ἐλάτιων ἐπειδήπερ ὁρᾶται τοῖς θεόπταις ἀνθρώποις καὶ ἐνεργεῖται πρὸς τῆς ὑπερκειμένης, πρῶτον μέν, πῶς ἄκτιστος ἡ ὑφειμένη, ἐνεργουμένη οὖσα καὶ ὁρατὴ καθ' αὑτὴν σωματικοῖς ὀφθαλμοῖς καὶ ὑφειμένη τῆς θείας φύσεως ἀπειράκις ἀπείρως; τοιαῦτα γὰρ τὰ ποιήματα. κἂν τις αὐτὸν ἔρηται «ἆρ' οὐχ ὑπερέχει τὸ θεῖον τῶν ἑαυτοῦ κτισμάτων, ὡς ἐνεργῶν ἐνεργουμένων καὶ ὑπερκείμενος ὑφειμένων ἀπειράκις ἀπείρως» οὐχ ἕξει ἀρνήσασθαι. ὥσθ' ὑπὲρ ὧν ὁ γεννάδας ἐσπούδακε, ταῦτ' ἐστὶν ὁ καταβάλλων αὐτός. ἐσπούδακε μὲν γάρ τινας δογματίσαι θεότητας ἀκτίστους καὶ ἀνάρχους καὶ τῷ πάντων ὑπερκειμένῳ συναϊδίους Θεῷ. ὁ δὲ ταύτας ἀποφαίνεται δημιουργήματα. εἰ δὲ πάντως αὐτῷ τις ἀκολουθήσειε καὶ πεισθείη τὸ δόγμα συναϊδίους εἶναι Θεῷ πλῆθος θεοτήτων ἀνίσων καὶ ἀνομοίων, οὕτω πῶς Ἑλλήνων ἑστήξει τῶν πολυθέων ἔξω; εἰ δ' ἕνα πάλιν ἐκ τοῦ πλήθους τῶν οὕτω διαφόρων θεοτήτων νομίσοι, πῶς ἁπλοῦν καὶ ἀσύνθετον; τὸ γὰρ ἐξ ὁρατοῦ καὶ ἀοράτου καὶ ἀμεθέκτου καὶ μεθεκτοῦ καὶ ἐνεργοῦντος καὶ ἐνεργουμένου καὶ ὑπερκειμένου καὶ ὑφειμένου ἀπειράκις ἀπείρως συγκείμενον, πῶς ἀμερὲς καὶ ἁπλοῦν; |*

---

21 *αἷμα... συστῆσαν*: Act. XX 28.
31 - 32 1 Cor. I 24.

7 - 8 - 1957

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

f. 74v *Ταῦτα μὲν οὖν οὐ καιρὸς ἐμοὶ νῦν γράφειν, οὐδὲ κατ' ἐπιστολήν, ἄλλως τε καὶ πρὸς τὴν σὴν ἀκρίβειαν ἐπιστέλλοντι, καὶ ταῦτα καὶ τοῦ θείου ποιμένος, καὶ εἴπερ τις ἐπισταμένου ταῦτα, τὴν ἑαυτοῦ μὲν ποίμνην ὑμετέραν δὲ πατρίδα καταλαμβάνοντος· ᾧ πρῶτον ἔργον ἔσται καὶ μέγιστον τὸ τὴν Παλαμῆτιν ἀπελάσαι τῆς ἑαυτοῦ ποίμνης ὡς πορρωτάτω νόσον. σὺ δ' ἡμᾶς ὦ θαυμάσιε, εἰ τυραννεῖν ἔτι φίλον, τυράννων ἁπάντων ἔσῃ τυραννικώτατος ὁ πάντων ἐπιεικέστατος, καὶ παῖδά γε τυραννῶν καὶ μαθητὴν οὐ κακὸν ὁ* f. 75 *πατὴρ καὶ δι|δάσκαλος. τῷ δὲ καλῷ ποιμένι πολλὰ διελέχθημεν περὶ τῆς σῆς σοφίας, ἐρευνωμένῳ τίνας ἂν αὐτόθι γενόμενος ἔχοι συνεργοὺς πρὸς τὴν ὑπὲρ τῆς εὐσεβείας σπουδὴν καὶ ἀνακάθαρσιν τῶν πονηρῶν δογμάτων, καὶ τὰς πρώτας ἐλπίδας εἰς αὐτὴν κατεθέμεθα. ἃς μὴ κενὰς μηδ' ἀκάρπους ποιήσῃς, μηδ' αὐιὸν ἡμῖν ἠπατημένον δείξῃς.*

## 5

## ⟨*Ματθαίωι μοναχῶι*⟩

MATTHAEO, ISAACII MONASTERII MONACHO, THESSALONICAM

*Constantinopoli, 1346. V - VI c. (?)*

Fama serpit ubique Matthaeum in Palamae transivisse sententiam. Miratus quaerit Acindynus qui tandem hoc fieri potuerit. Num quia, rabie quadam exarsi, nonnulli seditionem moverunt in Ecclesiam (i.e. in Ioannem Calecam, patriarcham) quod Acindynum promoverit ad sacros ordines (ad diaconatum scilicet)? At istius tumultus auctores (Palamas et Isidorus, electus metropolita Monembasiae) postea synodali sententia damnati sunt, praesente Antiocheno patriarcha (Ignatio). Ceterum ea persecutio neque profligavit Acindynum, neque patriarcham sede pepulit (ut susurrones falso contendebant). Quis enim, quove titulo, honore spoliare potuerit pontificem, cuius praeter metropolitas patriarchae quoque Antiochenus (Ignatius) et Hierosolymitanus (Gerasimus), et doctrinam probaverunt et acta de Acindyno rata habuerunt? Non igitur patriarcha damnatus, sed adversariorum alter (Isidorus) sacerdotio privatus, alter (Palamas) carceri clausus. Patriarchalium et imperialium litterarum, rationes horum omnium rite gestorum Hagioritis explicantium, exempla deferet (una cum isthac epistula) Bryennius, dicaeophylax et a sacello Thessalonicensis Ecclesiae. Qui (epistula prope iam absoluta) Constantinopolim veniens, Acindynum certiorem fecit de Matthaei firma circa rectam fidem constantia.

f. 65 **λε'.** *Πάντα χρὴ προσδοκᾶν, εἴ γε καὶ σὺ διασέσεισαι ταῖς βεβήλοις*

---

57 *οὐ* scripsi : *ὁ* cod.

64 *ποιμένι* : Hyacinthus, Thessalonicensis metropolita (1344 - 1346), supra, ep. 1,40.

*5.* Inscriptio: *Matthaeo;* v. lin. 85 et ep. 8,36.



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*καινοφωνίαις καὶ κακοπράγμοσιν, ὁ μὴ μόνον μεθ᾿ ἡμῶν ὕστερον τετρανωμέναις ταύταις, ἀλλὰ καὶ πολὺ πρὸ ἡμῶν ἐν ἀμυδρῷ κειμέναις μεμαχημένος. ὁ γὰρ Μασσαλιανοὺς καὶ πλάνης διδασκάλους ἐσχάτης καὶ τὰ τοιαῦτα πάλαι* f. 66 *πολλάκις βοῶν τε καὶ κεκραγὼς τοὺς νῦν καὶ πολυθέους τούτους | τίς ἦν; οὐ σὺ μετὰ φορᾶς πυρίπνου καὶ ἀληθῶς ἐνθέου; τί λέγοντας; οὐχ ὅτι φῶς ὁρῶσιν ὁπότε βουληθεῖεν καθήμενοι; καὶ ἐπὶ τούτῳ οὕτως οἰδοῦσι τὰς ψυχὰς καὶ ὀγκοῦνται ὥστε τοὺς οὐχ ὁρῶντας τοῦτο, κἂν τἆλλα ὦσι θεοειδέστατοι, τὴν ἀγάπην, τὴν χαράν, τὴν εἰρήνην, τὴν ἐγκράτειαν, τὴν μακροθυμίαν, τὴν χρηστότητα, τὴν ἐπιείκειαν, τὴν ἀπάθειαν, τοὺς καρποὺς τοῦ Πνεύματος ἅπαντας, ἀκάρπους εἶναι παρ᾿ αὐτοῖς καὶ δυστυχεῖς τὰ θεῖα, καὶ τἠνάλλως ἀνθρώπους ἐλεεινοὺς τῶν πόνων, ἐλεεινοτέρους τῆς τοῦ φωτὸς τοῦ παρ᾿ αὐτοῖς δυστυχίας. διὰ μὲν οὖν ταῦτα ὁποῖος ἦσθα πρὸς τούτους τὸν ἀνωτέρω χρόνον οὐκ ἀγνοεῖς. καίτοι τό γε φῶς ὁρᾶν οἴεσθαί τε καὶ θεοφανειῶν ἀξιοῦσθαι ποικίλων παρὰ Θεοῦ τούς γε τούτων ἀξίους κατά τινα θείαν οἰκονομίαν καὶ χρείαν ὡμολόγηται τοῖς εὐσεβέσι καὶ γέγραπται παρὰ τοῖς θείοις Λογίοις, εἰ καὶ μή, ὡς ἔδοξε τοῖς Παλαμήταις, οὐσιῶδες καὶ φυσικὸν τοῦ Θεοῦ. τὸ δὲ θεοὺς ἑτέρους ἢ θεότητας πλάττειν ἐκ τῶν τοιούτων, συναϊδίους τῷ ἐπὶ πάντων τρισυποστάτῳ Θεῷ, ἢ τὸν ἕνα τοῦτον Θεόν, ἐν ᾧ μία θεότης καὶ παρ᾿ ᾧ κατὰ τοὺς θείους Λόγους, οὐκ ἔστι παραλλαγή, κατατέμνειν ἀθέως εἰς πλῆθος θεοτήτων ἀνίσων καὶ ἀνομοιοτάτων, οὐσιωδῶν τοῦ Θεοῦ, τίνων ἔγνως ἑτέρων παρὰ τοὺς Ἕλληνας ὄν; μᾶλλον δὲ οὐ μόνον ἐστὶ τῆς Ἑλλήνων πολυθεΐας τοῦτο, ἀλλὰ καὶ τῆς Ἀρείου μανίας καὶ τῆς Μακεδονίου. τὸ γὰρ ἄλλο μὲν τὴν ἄκτιστον τοῦ Θεοῦ μορφὴν καὶ δόξαν εἶναι καὶ δύναμιν καὶ ζωὴν καὶ σοφίαν διισχυρίζεσθαι, ἄλλο δὲ τὴν οὐσίαν, καὶ ταύτην μὲν ὑπερκειμένην ἐκείνας δὲ ὑφειμένας, καὶ τὴν μὲν ἐνεργοῦσαν τὰς δὲ ἐνεργουμένας, οὐχὶ σαφῶς ἐκείνων; τίς γὰρ Θεοῦ σοφία καὶ δύναμις; οὐχ ὁ Υἱὸς καὶ Λόγος; τίς δόξα ἧς πατὴρ ὁ Θεοῦ λόγου πατήρ; οὐχ οὗτος; τίς ἐπαγγελία τοῖς ἀποστόλοις καὶ δύναμις ἐξ ὕψους; οὐ τὸ Πνεῦμα τὸ παντουργόν; διὰ τίνων δὲ ἄλλων τὴν κτίσιν ἐδημιούργησεν ἀκτίστων δυνάμεων; οὐ διὰ τοῦ Υἱοῦ ἐν τῷ Πνεύματι πάντα ἐγένετο καὶ νῦν ἔτι τὰ γινόμενα γίνεται κατ᾿ αὐτὸν τὸν δι᾿ οὗ τὰ πάντα γεγένηται καὶ τοὺς αὐτοῦ μαθητάς; οὐκ ἴσος δὲ ὁ Υἱὸς τῷ Πατρὶ καὶ τὸ Πνεῦμα, καὶ μία δὴ θεότης μονὰς ἀδιαίρετος καὶ ἀμερὴς καὶ ἁπλῆ καὶ παντελῶς ἀπαράλλακτος;* f. 66 *οὐχ ἓν φῶς ἀληθινὸν ὁ Θεὸς καὶ τρισήλιον, ὃ | φωτίζει πάντα ἄνθρωπον*

---

19 - 20 Cf. Greg. Naz., Or. XXXI (theol. V) cap. 14: *ἡμῖν εἷς Θεὸς ὅτι μία θεότης;* P.G., t. 36, col. 148D.

20 Iac. I 17.

27 - 28 1 Cor. I 24.

28 - 29 Cf. Greg. Naz., Or. XXX (theol. IV) cap. 8: P.G., t. 36, col. 113B.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

ἐρχόμενον εἰς τὸν κόσμον; διό φησιν ἡ θεολόγος τοῦ Γρηγορίου φωνὴ ἑπομένως τῷ τῆς βροντῆς Ἰωάννῃ καὶ τῷ μεγάλῳ Δαυὶδ « ἐκ φωτὸς τοῦ Πατρὸς φῶς τὸν Υἱὸν ἐν φωτὶ τῷ Πνεύματι » θέασαι, τὸ τρισσὸν φῶς καὶ ἀμέριστον. καὶ πάλιν « ἑνὶ φωτὶ περιαστράφθητε καὶ τρισί, τρισὶ μὲν κατὰ τὰς ὑποστάσεις, ἑνὶ δὲ κατὰ τὸν τῆς οὐσίας λόγον εἴτ' οὖν θεότητος ». πῶς οὖν ἂν τῷ Παλαμᾷ πεισθείημεν νῦν, ἢ πλῆθος θεοτήτων συναϊδίων μὲν ἀνίσων δὲ καὶ ἀνομοίων ὡς εἴρηται παραδιδόντι καὶ μὴ φανερῶς αὐτὸν τὴν Ἑλλήνων πολυθεΐαν παραδιδόναι νομίσαιμεν, ἢ μὴ ἀρειανίζειν ἕτερον φῶς ἄκτιστον παρὰ τὴν θείαν φύσιν εἰσάγοντι, « δι' οὗ φωτίζονταί » φησιν « οἱ ἅγιοι καὶ φῶς γίνονται καὶ ἑνοῦνται τῷ Θεῷ », ἐκεῖνο δὲ ἀθετήσαντι δι' οὗ τὴν πρὸς τὸν ἀρχίφωτον πατέρα προσαγωγὴν ἐσχήκαμεν καὶ ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον; οὐκ ἔχει χώραν ἕτερον παρὰ τὴν τούτου φύσιν ὂν καὶ ὑφειμένον τούτου δι' οὗ ταῦτα γίνοιτ' ἄν. τοῦτο γὰρ δι' οὗ ταῦτα γίνεται κατὰ τὰ θειότατα Λόγια οὐχ ὁρατὸν ὂν οὐδ' ἐκ φυσικῆς ἐμφάσεως διεγνωσμένον οὐδενὶ τῶν ἁπάντων ὡς οἱ θεῖοι πατέρες διδάσκουσιν, ἀοράτῳ δὲ καὶ νοερᾷ φωτοφανείᾳ τοῖς οἰκείοις ἐρασταῖς ἐναστράπτον, παντὸς ὁρατοῦ φωτὸς φωτεινότερον. εἰ δ' οὐδὲν ἕτερον φῶς ἐκτὸς τοῦ Θεοῦ Λόγου μετὰ Πατρὸς καὶ τοῦ Πνεύματος τὸ φωτίζον θεϊκῶς τοὺς ἁγίους καὶ πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, τὸ δὲ ταῦτα ποιοῦν ἕτερον εἶναι τῆς θείας φύσεως Παλαμᾶς ἀποφαίνεται καὶ ἐνεργούμενον καὶ ὑφειμένον αὐτῆς ἀπειράκις ἀπείρως καὶ ὁρατὸν καθ' αὑτὸ σωματικοῖς ὀφθαλμοῖς, ἆρ' οὐ ταῦτα κατὰ τοῦ Θεοῦ Λόγου καὶ τοῦ Πνεύματος λέγει καὶ χεῖρον Ἀρείου περὶ ταῦτα βλασφημεῖ; καὶ γὰρ ἐκεῖνος ἐλάττω μὲν εἶναι καὶ ὑφειμένον τῆς οὐσίας τοῦ Θεοῦ τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἐβλασφήμει καὶ ἔργον τοῦ Παντοκράτορος. ὁρατὸν δὲ καθ' αὑτὸν σωματικοῖς ὀφθαλμοῖς εἰπεῖν οὐκ ἐτόλμησεν, ἀλλὰ τοῦτό γε τοῦ Παλαμᾶ συνετώτερος ὑπῆρξε καὶ εὐγνωμονέστερος Ἄρειος. τὸ γὰρ οἴεσθαι μὲν εἶναι τὸ προαιώνιον φῶς καὶ τῶν ἀοράτων δυνάμεων ποιητικόν, αὐτὸ δὲ τοῦτο θεατὸν σωματικοῖς ὀφθαλ-
f. 66v μοῖς, οὐκ ἀσεβείας μόνον ἦν ἁπάσης ἐπέκεινα, ἀλλὰ | καὶ ἀφροσύνης καὶ τελείας μανίας. Οὐ μόνον μέντοι καὶ πρὸ ἡμῶν, ὦ βέλτιστε, σὺ τὰς τούτων ἀφορμὰς καὶ προεώρας ἐν τούτοις καὶ προὔλεγες καὶ ἀντέλεγες αὐτοῖς καὶ τοὺς ἄλλους ἀπέτρεπες αὐτῶν ἀκούειν, Μασσαλιανοὺς καὶ πλάνους ἀποφαινόμενος, ἀλλὰ καὶ ὕστερον αὐτὸς τῆς αἱρετικοῖς οἰκείας θρασύτητος καὶ λῃστείας παρ' αὐτῶν ἐπειράθης. καὶ δεῦρο παραγενόμενος ἐπὶ τοῦ θειοτάτου καὶ οἰκουμενικοῦ πατριάρχου καὶ τὴν ἀσέβειαν καὶ τὴν θρασύτητα αὐτῶν

---

37 Psalm. XXXV 10.
37 - 38 Greg. Naz., Or. XXXI ( theol. V ) cap. 3 : P.G., t. 36, col. 136c.
39 - 40 Greg. Naz., Or. XXXIX, cap. 11 : P.G., t. 36, col. 345b.
44 - 45 Greg. palamas, ubi?
70 πατριάρχου : Ioannes XIV Caleca ( 1334 - 1347 ).

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*διεξήεις, κἀνταῦθα τοιαῦθ' ἕτερα καὶ πολλῷ χείρω τῶν ὑπὸ σοῦ λεγομένων αὐτοῖς τετολμημένα μεμάθηκας, ἔκ τε πολλῶν ἑτέρων καὶ παρ' αὐτοῦ τοῦ κορυφαίου τῆς ἐκκλησίας κράτους· οὗ καὶ λόγους ἐκ στόματος καὶ γράμμα ἐπὶ τούτοις ἐδέξω καὶ διεκόμισας τῷ μακαρίτῃ Θεσσαλονίκης ἐκείνῳ μητροπολίτῃ, καὶ αὐτὰ τοῦ Παλαμᾶ τὰ κίβδηλα δόγματα καθαρῶς πολυθεΐαν διδάσκοντα καὶ παρὰ ταῦτα τῶν ἱερῶν πατέρων ἀντίθετα καὶ δόγματα καὶ διδάγματα, ἐφ' οἷς ἡμῖν καὶ γράμματα πολλάκις ἀπέστειλας, μηνύων ὅτι τε πᾶσι ταῦτα ἐπέδειξας καὶ ὡς ἅπαντες τῶν μὲν τοῦ Παλαμᾶ κατέγνωσαν ὡς δυσσεβῶν δογμάτων, τὴν δ' ἡμετέραν περὶ τῆς εὐσεβείας γνώμην καὶ πρὸς αὐτὸν ἐναντίωσιν ὡς κοινὴν τῆς ἐκκλησίας καὶ τῶν θείων πατέρων ἠσπάσαντο, καὶ ὡς ἄριστα καὶ ἀκριβέστατα ἐγὼ τὰ δόγματα ἐκτίθεμαι τῆς ἐκκλησίας καὶ ὁμολογουμένως τοῖς κειμένοις τῆς εὐσεβείας ὅροις. οὐκ ἐμοὶ μέντοι μόνῳ, ἀλλὰ καὶ τῇ θεοφιλεστάτῃ καὶ θαυμαστῇ βασιλίσσῃ γράφων ἀνωμολόγεις. εἶτα, μετὰ τοσαύτην ἀπόδειξιν καὶ μαρτυρίαν τῆς τε τοῦ Παλαμᾶ δυσσεβείας καὶ ἡμετέρας ὀρθότητος, ἕτερος αὐτὸς ἑαυτοῦ Ματθαῖος ὁ ἱερώτατος; καὶ τίνος ὀστράκου μεταπεσόντος; ὅτι με τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐπὶ τὴν τῆς ἱερωσύνης χάριν ἑλκυσαμένης ἐμάνησαν οἱ πολέμιοι καὶ ἀπόβλητοι τῆς ἐκκλησίας οὗτοι, καὶ ἐπανέστησαν τῇ ἐκκλησίᾳ κἀμοί; διὸ δὴ καὶ τελέως αὐτοὺς ἀπέρρηξεν ἑαυτῆς, συνόδῳ κατ' αὐτῶν παντελεῖ χρησαμένη, παρόντος αὐτῇ καὶ τοῦ Ἀντιοχείας καὶ ἄλλων Ἀσιανῶν ἐπισκόπων; ἀλλὰ τοῦτό γε ἦν ὁ σαφέστατος ἔλεγχος τῆς τε ἡμετέρας εὐσεβείας καὶ τῆς τοῦ Παλαμᾶ δυσσεβείας καὶ τῆς αἱρετικοῖς συνυπαρχούσης σκαιότητος. καὶ ὁ καιρὸς ἐκεῖνος ἔνστασιν μᾶλλον ἀπῄτει παρ' ὑμῶν ὑπὲρ τῆς εὐσεβείας, ἀλλ' οὐ κλίσιν τῆς γνώμης ἧς πρότερον εἴχομεν περὶ αὐτὴν καὶ τῆς ὁμολογίας. κἂν τι πάσχωμεν χαλεπὸν ὑπὲρ αὐτῆς μετὰ τῆς ἐκκλησίας, αὐτὸ*
f. 67 *τοῦθ' ὅτι | πάσχομεν ὑπὲρ αὐτῆς καὶ μετὰ τῆς ἐκκλησίας εἰς εὐφροσύνης ἔχειν ἐφόδιον, ἀλλ' οὐ δειλίας. οὐ γὰρ ἐλάβομέν φησι, Πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως. νῦν δὲ οὐδὲ οὕτως ἀνῃρέθημεν ἢ κατεπόθημεν ὑπὸ τῆς μανίας τῶν ἐπιβεβουλευκότων, οὐδ' ὁ τῆς εὐσεβείας προστάτης πατριάρχης καθῄρηται ἀντὶ τοῦ ἐμοὶ μεταδοῦναι ἱερωσύνης, ὡς αὐτοὶ διεφήμισαν. τίνι*

---

73 *κορυφαίου*: Ioannes Caleca patriarcha.

74-75 *μητροπολίτῃ*: Hyacinthus (1344 - 1346) aut potius eius praedecessor, Macarius (1342 - 1343c.); de quo v. L. Petit in Échos d'Orient, 5 (1901) 92, et 18 (1916 - 1919) 248.

83 *βασιλίσσῃ*: Irene Chumnaena Palaeologina; de qua v. V. Laurent in Échos d'Orient, 29 (1930) 29 - 60.

87 *ἱερωσύνης*: P.G., t. 152, col. 1278B.

90 *Ἀντιοχείας*: Ignatius II (1344 - 1358c.).

97 - 98 2 Tim. I 7.

100 *καθῄρηται*: Hadrianopoli, anno 1346, mense maio; Cant. III 92: t. II, 564,22 - 565,7 (Bonn).

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

γὰρ ἂν συνόδῳ ἐπισκόπων καθῄρητο; ὑπὸ γὰρ ἐπισκόπων ἐπ' αἰτίᾳ καθαιρεῖται τοιαύτῃ, πάντων συμπεπνευκότων αὐτῷ, καὶ τῶν ἄλλων πατριαρχῶν, τοῦ τε Ἀντιοχείας λέγω καὶ τοῦ Ἱεροσολύμων καὶ τῶν μητροπολιτῶν ἁπάντων εἴς τε τὴν κοινὴν ἡμῖν ὁμολογίαν τῆς πίστεως καὶ τὴν ἐμὴν ἱερωσύνην; καὶ τίς ἦν οὕτως ἐκτὸς τοῦ λογίζεσθαι, ὥστε τοῦθ' ὑποπτεῦσαι; οὐδὲ γὰρ τοὺς Παλαμήτας κριτὰς τῆς ἐκκλησίας ἐκάθισαν· ὧν τοὺς προστάτας, τὸν μὲν ἐξελόντες τῶν ψήφων τῶν ἐφ' ἱεραρχίᾳ καὶ αὐτῆς καθελόντες καθάπαξ ἱερωσύνης ὡς τὰ αὐτὰ τῷ Παλαμᾷ φρονοῦντα, ἕτερον ἀντεισήγαγον τοῖς ἐκείνου πολέμιον δόγμασι, κατ' αὐτὸ δήπου τοῦθ' ὅτι τοῖς ἐκείνου πολέμιον δόγμασι. τὸν δὲ καὶ εἱρκτῇ παραδόντες ἐφρούρουν καὶ νῦν οὐδὲν ἧττον φρουροῦσι. καὶ πέμπει δὴ βασιλεὺς ὁ θειότατος μετὰ τῆς μητρὸς αὐτοῦ τῆς θείας καὶ ἡμετέρας δεσποίνης καὶ συνόδου τῆς θείας ἐπιστολὰς εἰς Ὄρος τὸ ἱερόν, βεβαιοῦντες τὴν αἰτίαν ἐφ' ᾗ φρουροῖτο, καὶ δυσσέβειαν ὁμολογοῦντες εἶναι, ἐφ' οἷς δὴ καὶ πάσαις ψήφοις ἐκκήρυκτοι γίνονται τῆς ἐκκλησίας οἱ Παλαμῆται πάντες, ὡς οἱ κατ' αὐτῶν ἐκτεθειμένοι λόγοι καὶ γνῶμαι τοῖς θειοτάτοις πατριάρχαις πρὸς ὑμᾶς ἐνεχθέντες, ἢ ἐδίδαξαν, ἢ νῦν διὰ τοῦ θεσπεσιωτάτου δικαιοφύλακος ἢ σακελλίου τοῦ Βρυεννίου διδάξουσιν, ὃς τοῦτο παρὰ τῆς καθ' ἡμᾶς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας πρὸς τὴν καθ' ὑμᾶς διακονῆσαι παρέλαβεν. ὑφ' οὗ καὶ περὶ τῆς σῆς ὁσιότητος ὅτι συκοφαντοῖτο τὴν μεταβολὴν ἐδιδάχθημεν καὶ τῆς ἐπὶ ταύτῃ προτέρας ἀνίας ἀνείθημεν. εἰ δὲ καὶ σοῖς τοῦ νῦν καταμάθοιμεν γράμμασι βεβαιοτέρας ἀπολελαύκαμεν τῆς εὐφροσύνης.

---

103 *Ἱεροσολύμων*: Gerasimus (1341 - 1348), de quo v. Cant. IV 14: t. III, 91,20-21 et 93 - 94.

107 - 108 *τὸν μὲν... ἱερωσύνης*: Isidorus, electus metropolita Monembasiae, 1344. XI; G. Mercati, Notizie, 199 - 200 et 202.

108 *ἕτερον*: Iacobus Cucunarius Thessalonicensis, ad quem ep. 1.

110 - 111 *τὸν δὲ... φρουροῦσι*: Gregorius Palamas; Nic. Greg. XV, 7, 2: t. II; 768,4-5, P.G., t. 151, col. 609c 11 (Gregorii Palamae laudatio, auctore Philotheo Coccino).

111 *βασιλεὺς*: Ioannes V Palaeologus (1341 - 1391).

112 *δεσποίνης*: Anna Palaeologina (Ioanna Sabauda).

112 *ἐπιστολὰς*: Nic. Greg. XV, 7, 2: t. II, 768,4-9.

117 *Βρυεννίου*: ad quem ep. 2.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

## 6

## *Μαξίμωι ⟨τῶι Καλοφέρωι⟩*

MAXIMO LASCARI CALOPHERO, MONACHO, IN ACTEN PAENINSULAM

*Constantinopoli, 1347, X - XII*

Acindynus exprobrat Maximo quod Constantinopoli discedens, relictis non bene sociis, bellum laudabile cum haeresi gerentibus, in perversum transfuga, familiariter usus sit et Palamitis et ipso Palama, cuius olim in media regia linguam retuderat. Nuper autem, cum nuntiatum esset Maximum in Athoa Laura monachum indutum Palamitis bellum indixisse, haud vulgariter se gavisum esse, sed denuo ad maerorem conversum, cum nullae e Monte Sancto redditae sibi sint litterae. Tandem Athanasium monachum, legatione ad principem Triballorum (Stephanum Dušan) functum, omnem suspicionem de dogmatis in Maximo mutatione summovisse. Quod autem Acindynus acerbius invehi videatur in Palamam, istum in causa esse, qui illum, amicum olim, nunc ubique locorum praedicet impium, trahatque plurimos, dogmati patribus tradito praeferentes anilia commenta, sive propter invidiam sanctissimi patriarchae (Ioannis Calecae) sive quacumque de causa. Quas fabulas cum Maximus olim respuerit, multos errore captos e tanto gurgite salvans, vereatur ne praeclaris ille superioribus nunc per extrema sua nitoris aliquid detrahat.

(f. 62v) **λα΄.** *Οἷον ἔδρασας ἄριστε, καταλιπὼν μὲν τὴν Πόλιν, ἥ σε μάλα ἐθαύμαζε, καταλιπὼν δὲ τὴν ἑταιρείαν, ἥ σου σφόδρα ἐξείχετο, καὶ ἀφελὼν αὐτοῖς τὸ βέλτιστον, τὴν εὖ ῥέουσαν γλῶτταν. τί ῥέουσαν εὖ; τὰς Ἀχελῴου Σειρῆνας, αἷς ἐκήλεις μὲν τοὺς φίλους τῇ ἀληθείᾳ, τοὺς δυσμενεῖς δὲ ἅμα φανεὶς ἐτρέπου καὶ τῆς εὐσεβείας προὐμάχεις οὐκ ἔλαττον ἢ Ἀχιλλεύς ποθ' Ἑλλήνων. ἡγούμην μέντοι καὶ σὲ τοσοῦτον ἔχειν ἐπὶ τῷδε τῷ πολέμῳ φρονήματος, ὥστε μηδενὸς ἂν ἀποδόσθαι τοῦτό γε, μηδὲ προέσθαι τὰς πατρικὰς ἀριστείας ὑπὲρ τῆς εὐσεβείας. τί γὰρ ἂν θεοφιλέστερον γένοιτο, τί δ' ἐπὶ γῆς ἐντιμότερον τοῦ δύνασθαι καὶ προθυμεῖσθαι γλώττας ἀργὰς ἀποφαίνειν δυσσεβεῖς τε καὶ κακοπράγμονας, καὶ δὴ καὶ ἀποτέμνειν τμητικωτάτῳ λόγῳ τὰς τμητικὰς τῆς θεότητος; νῦν δὲ ἀκούσαντες, οὐκ ἀληθῆ μὲν οἶμαι, ἀκούσαντες δ' οὖν, ὅτι μὴ μόνον σιγῇ τῆς ἀληθείας προὔδωκας τοὺς ἀγῶνας ἐκείνους ὧν μέγα κλέος παρὰ ταῖς ἐκκλησίαις, ἀλλ' ὅτι καὶ τοῖς Παλαμήταις ἱλαρὸς συνεγένου καὶ αὐτῷ τῷ Παλαμᾷ, οὐ σὺν ὁμοίῳ τῷ σχήματι*

---

6. Inscriptio: *Μαξίμωι*, ad quem ep. 9; unde adieci *τῶι Καλοφέρωι*.

1 *πόλιν*: Constantinopolis; cf. Dem. Cydon. ep. 72 (Loenertz).

3 *Ἀχελῴου Σ.*: cf. Ap. Rhod., Arg. IV 893.

14 *συνεγένου... Παλαμᾷ*: in monte Atho, ann. 1347 - 1348, ab autumno ad autumnum.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*μεθ᾽ οὗπερ αὐτὸν λίθον ἀπέφηνας πρότερον ἐν μέσοις τοῖς βασιλείοις, πῶς δοκεῖς ἠνιάθημεν; αὐτὸ τοῦτο τεκμήριον ἡγησάμεθα μέγιστον τοῦ μέλλειν τὸ κακὸν ἐπιδώσειν, τὴν τῶν αἱρέσεων ὕδραν, Ἡρακλέους ἀναχωρήσαντος πρὶν τὸ θηρίον ἀνῃρῆσθαι καθάπαξ. καὶ ἦμεν ἐν ἀπογνώσει τοῦ κατὰ σὲ δήπου κρείττονος. Ὡς δέ τις ἧκεν ἀπαγγέλλων ὅτι σε Ἄθως ἔχει, ἡ ἱερὰ κορυφή, τὸ ἡμέτερον μέλημα, ἀναπεπνεύκαμεν· ὡς δὲ καὶ ἄλλος καὶ μάλα ἄλλος ἐπῆλθεν ἀπὸ τοῦ θείου Ὄρους, μηνύοντες ⟨ὡς⟩ τοῖς ἱεροῖς Λαυριώ- f. 63 ταις ἐναρίθμιος εἶ καί σοι προσέχουσιν ἄσμενοι, | ἀλλ᾽ ὅτι καὶ τοῖς αὐτόθι τὰ Παλάμια νοσοῦσιν ἀντέπνευσας, καὶ περιέστησας αὐτοῖς θαυμαστῶς τὰς ἐλπίδας, ἀντὶ τοῦ πεισθῆναι σφίσιν, ὅπερ ἠλπίκεσαν, πείσας αὐτοὺς τὰ κρείττω, τί χρὴ καὶ λέγειν πρὸς ἀκριβῶς λογιούμενον ἐν οἵαις ἦμεν τηνικαῦτα βακχείαις; ἐπ᾽ ἐκείνοις δ᾽ ἐλθόντων παρ᾽ ὑμῶν οἵπερ ἧκον, καὶ μήτε γράμματα μήτ᾽ ἄλλως λόγους παρὰ τῆς σῆς σοφίας κεκομικότων ἡμῖν, μετέπιπτεν ἡ βακχεία πρὸς σκυθρωπότητα· καὶ γράφομέν σοι νυνὶ ναρκώσῃ καὶ δυσκινήτῳ χειρὶ καὶ γνώμῃ. Ἀλλ᾽ ὁ ἐν ἱερομονάχοις θαυμάσιος καὶ σὸς Ἀθανάσιος, ὁ τοῦ φιλαλήθους καὶ ἀρετῆς πάσης ἕνεκα τοῖς ἀρίστοις συντρέχων, ὁ τῶν φιλοσοφίας θεραπευτῶν τὰ πρῶτα, ὁ μάλιστα μὲν ἀνιαθεὶς ἁπάντων ἐπὶ τοῖς χείροσι τῶν περὶ σοῦ λεγομένων, μάλιστα δὲ πάντων ἡσθεὶς τῇ ἀμείνονι φήμῃ, οὗτος ἀναγκασθεὶς πρεσβεῦσαι παρὰ τὸν ἡγεμόνα τῶν Τριβαλλῶν, ὡς εἴσῃ, τῆς ἐπί σοι δυσελπιστίας ἡμᾶς καὶ σκυθρωπότητος ἔλυσεν. ἔφη γὰρ οὐδὲν τοσοῦτον εἶναι παρὰ σοί, οὐκ ἀλλοίωσιν, οὐ μέμψιν ἐκ παλαιῶν ἐγκλημάτων, οὐ προκειμένας ἐλπίδας, οὐ φόβον ἐπηρτημένον, ὅπερ ἂν οὐ διαλύσῃ φανεὶς τοῖς φιλίας φαρμάκοις καὶ Θεοῦ συνεργίᾳ. καίτοι λύπης μέντοι παλαιᾶς ἴσως ἂν ἴχνος εὑρεῖν παρὰ σοί, ὅπερ εὐθὺς ἐξαιρήσειν ἢ καὶ ὅ τι οὖν ἄλλο τῶν ἀπηριθμημένων. μετάθεσιν δὲ τῶν δογμάτων παντελῶς ἀπηγόρευεν· οὐ γὰρ ἄν ποθ᾽ ἕτερόν τί σε φρονῆσαι παρὰ τὰ πάλαι καὶ πάτρια περὶ τοῦ θείου, ἥκιστα δὲ ἁπάντων τὴν Παλαμῆτιν πλάνην, ὡς οὐ μόνον αἵρεσιν δυσσεβεστάτην οὖσαν καὶ πηγὴν τῶν αἱρέσεων, ἀλλὰ καὶ ἀλόγιστον καὶ ἀνοητοτάτην· γνώσει γὰρ ἀληθεῖ καὶ σοφίᾳ, ἧς ἐραστὴς σὺ καὶ τρόφιμος, οὐ Παλαμᾶς ὁ τεράστιος τὴν ἀλογίαν οὐχ ἧττον ἢ τὴν ἀσέβειαν, οὐδὲν ἀλογίας καὶ ἀφροσύνης ἀλλοτριώτερον. Καίτοι ταῦτα μὲν λέγειν ἡμᾶς, ὡς οἶσθα, αὐτὸς Παλαμᾶς ἐξηνάγκασε περὶ αὐτοῦ, δυσσεβεῖς ἁπανταχοῦ κηρύττων, ἐπειδήπερ αὐτοῦ ταῖς πλάναις οὐκ ἐθέλομεν πείθεσθαι οὐδὲ τούτων ἀποστὰς κοινῇ μετὰ τῆς ἐκκλησίας τοῦ Θεοῦ τὰ πάτρια δόγματα πρεσβεύειν ἐπήνεσε. μάλα θαρρῶν ἀποφαίνομαι*

---

15 *βασιλείοις*: Dem. Cyd. ep. 72,14.
19 *Ἄθως*: v. ibidem.
30 *Ἀθανάσιος*: Nic. Greg. XVIII, 5, 5: t. II, p. 894,4 (Bonn).
34 *ἡγεμόνα*: Stephanus Dušan, Serviorum rex et imperator; cf. Cant. IV 4: t. III, 30,32 - 32,8 (Bonn).

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

f. 63v *ὡς οὐδεὶς ἂν ἁπάντων ἔφθη Γρηγόριον ἐμὲ τουτονὶ τὸν ἀνθρώπων | ἐλάχιστον εἰς φιλίαν καὶ θεραπείαν ἐκείνου, προσθείην δ' ἂν καὶ δουλείαν, οὐχὶ ψευδόμενος. ὁ γὰρ τοῖς ἄλλοις πρότερον ἀπηχθημένος ὑπὲρ αὐτοῦ καὶ πράξας οὐχ' ἧττω πρὸς τοὺς αὐτοῦ δυσμενεῖς ἤπερ αὐτὸς πρὸς αὐτοῦ, πῶς οὐχὶ δῆλός εἰμι οὔτε δυσχερὴς ἀλλ' ἕτοιμος πρὸς καταλλαγάς, ἂν ἀφῇ τὴν καινότητα, οὔτε ἰδίας ἕνεκα διαφορᾶς ἢ φθόνου τὴν ἀρχὴν διενεχθεὶς πρὸς τοῦτον, ἀλλ' ὑπὲρ εὐσεβείας τοῦ κοινοῦ πάντων τῶν εὐσεβῶν ἀγαθοῦ; ὅπερ, οὐκ οἶδ' ὅ τι παθόντες, οἱ πλεῖστοι προΐενται, οἱ μὲν φιλίας καὶ χάριτος τῆς πρὸς τὸν πεπλανημένον ἀντὶ τοῦ καὶ τούτῳ χαρίσασθαι διὰ τῆς ἐπιστροφῆς καὶ τῇ ἀληθείᾳ τῷ μὴ προδοῦναι ταύτην, οἱ δὲ δυσμενείας τῆς πρὸς τὸν πατριάρχην τὸν ἁγιώτατον, οἱ δὲ τῆς πρὸς ἡμᾶς, οἱ δ' οὐκ οἶδ' ὧντινων προφάσεων καὶ βαράθρων, πλῆθος θεοτήτων ἀνίσων καὶ ἀνομοίων ἀντὶ τῆς ἀμερίστου μονάδος τῆς ἐν τρισὶν ὑποστάσεσιν καὶ ἀντὶ τοῦ ἀοράτου καὶ ἀνειδέου Θεοῦ μεμορφωμένον φυσικῇ καὶ οὐσιώδει μορφῇ καὶ ὁρατῇ σωματικοῖς ὀφθαλμοῖς καὶ ἀντὶ τοῦ πανταχοῦ παρόντος ἀμιγῶς καὶ ἀσχέτως ὡς ἀπείρου καὶ ἀσωμάτου, μὴ δυνάμενον παρεῖναι καθ' ἑαυτὸν ἁπανταχοῦ καὶ πᾶσιν ὥσπερ τὰ σώματα, καὶ ὅλως ἀντὶ τῶν θεοπρεπῶν καὶ παλαιῶν δογμάτων ἀνθῃρημένοι τὰ ἀτοπώτατα καὶ ὡς εἰπεῖν γραωδέστατα. Ὧν σὺ καταπτύσας εἴπερ τις καὶ καταγελάσας ἀξίως τῆς μοχθηρίας αὐτῶν καὶ τοὺς ἁλισκομένους τοῖς τοιούτοις κατελεήσας, καὶ πολλούς γε ἀνασπάσας τοῦ τοσούτου βαράθρου διὰ τῆς χρυσῆς γλώττης ὥσπερ σειρᾶς, μὴ καταισχύνῃς ἐκεῖνα διὰ τῶν τελευταίων, ἀλλ' ὥσπερ πέπλον εὐσεβείας εἰς τέλος τὸν χαριέστατον ἐξυφᾶναι τῷ Θεῷ δι' ὁμοίας τῆς γλώττης καὶ φέρων ἀνάθες διὰ χρόνου παντὸς σωθησόμενον καὶ ταῖς εὐσεβέσι γλώτταις ὑμνηθησόμενον.*

## 7

NESCIO CUI (ATHANASIO MONACHO?), THESSALONICAM

*Constantinopoli, post 1347. X - XII.*

Vix reversus e Triballis (i.e. Serviis) Thessalonicam properavit amicus, qui tamen Acindynum, eum de more conveniendi cupidum, haud vulgariter iuvare potuisset, cum Palamitis decertantem. Verum hoc ibi quoque facere licebit, ubi pro sui ducis dogmate isti tumultuantur assidue. Quibus si obstiterit amicus quam gratissimum erit Acindyno, nec minus si faverit Antonio, quem, cum sit diaconus, princeps tamen ecclesia ceterarumque mater (Constantinopolitana scilicet) sacerdotio dignum iudicavit (sedente adhuc, ut videtur, Ioanne Caleca, patriarcha).

(f. 51v) **κς'.** *Ἐν οὐκ ὀλίγῃ τιθέμενος φροντίδι σοι καθομιλῆσαι παρ' ἡμῖν*

---

*7.* Inscriptio: *Athanasio*; v. ep. 6,30.
1 *τιθέμενος*: leg. *τιθέμενον*.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*ὄντι πρώην ἀφείλου τῷ τάχει τῆς αὖθις ἀποδημίας καὶ τὸ μετρίως σοι συγγεγονέναι. καὶ ὃν ἀπολαβόντες ἐκ τῆς μακρᾶς ἀποδημίας ἐκείνης ᾗ Τριβαλλοῖς ἐνετρίβης ἐχαίρομεν, τοῦτον αὖθις ἡμᾶς ἀφελομένη Θεσσαλονίκη λυπεῖ, τά τε ἄλλα εὖ διαθέσθαι τοὺς φίλους δυνάμενον τῇ συνουσίᾳ, καὶ τὸ μέγιστον, συνεργὸν ἡμῖν ὄντα τὸν προθυμότατον ὑπὲρ τῆς εὐσεβείας, ἣν οἶδεν ἀτόπους μὲν ἀνθρώπους καὶ κομιδῇ δυσσεβεῖς ἐσπουδακότας καὶ νῦν, ὑπὲρ τοὺς πάλαι δυσσεβεῖς, ἀνατρέπειν, ἡμᾶς δὲ περιέπειν, καὶ ταύτης προκινδυνεύειν, ὥσπερ εἰκὸς τροφίμους. ἀλλὰ ταύτην ἡμῖν τὴν ὠφέλειαν καὶ αὐτόθι*
f. 52 *παρέξεις. ἔξεστι γάρ σοι τοῖς Παλαμίταις δεῖξαι | ὡς ἔστι τις γνήσιος τῆς ἐκκλησίας υἱὸς καὶ τρόφιμος τῆς εὐσεβείας, ὁ τὴν εἰς ταύτην ὕβριν οὐκ ἀνεχόμενος. ἀγγέλλονται γὰρ οὗτοι δεῦρο πάντα ποιοῦντες ἐκεῖ καὶ θορυβοῦντες ὑπὲρ τῶν ἀσεβεστάτων μὲν τοῦ Παλαμᾶ δογμάτων, κατὰ δὲ τῶν κειμένων τῆς εὐσεβείας ὅρων τοῖς τοῦ θείου σπαράκταις ἐξευρημένων. εἰ τοίνυν τοῖς μὲν φιλοθέως ἀντὶ τούτων ἐπάξει, Ἀντώνιον δὲ ἀγαπήσεις τὸν ἱερὸν τουτονὶ καὶ ἡμέτερον, τὸν ἱεροδιακόνων τὰ κράτιστα, πάσης ἀρετῆς καὶ παιδεύσεως ἕνεκα καὶ τῆς ὑπὲρ τῆς εὐσεβείας σπουδῆς, ἣν πολλὴν καὶ θαυμαστὴν κατὰ τῶν βεβήλων τούτων καὶ ἀνιέρων δογμάτων πεποίηται, καὶ νῦν ἐπιδείκνυται, ἀνθ' ὧν ἁπάντων καὶ τῆς ἱερωσύνης ἠξίωται, παρὰ τῇ πασῶν τῶν ἐκκλησιῶν ὑψηλοτάτῃ μητρί, καὶ τῆς ὅλης ἱερωσύνης πηγῇ, ταῦτα ποιήσας, τὸ πᾶν ἡμῖν κεχαρισμένος ἔσῃ· χάριν δὲ νῦν αἰτῶν σε ταύτην ἐπιμελέστατα οἶδ' ὅτι χάριν ὁμολογήσεις μοι ἐπειδὰν ὁμιλήσῃς οἰκείως τῷ διακόνῳ τοῦ Πνεύματος.*

## *8*

NESCIO CUI (ATHANASIO MONACHO?), THESSALONICAM

*Constantinopoli, 1348 - 1351?*

Illi viro cui dudum commendavit Antonium diaconum Acindynus istas mittit litteras, perferendas eidem Antonio. Laudat Lapitham Georgium desinitque significando cupere se ut ostendantur cum admirando Magistro et Cydonio docto, et Matthaeo monacho monasterii Isaacii, et Bryennio dicaeophylaci, tum etiam — ut pudefiat — Charatzae Palamitae.

f. 47 *κ΄. Σοὶ τὸν ἡμέτερον Ἀντώνιον τὸν τοῦ Χριστοῦ διάκονον ἀπεσταλκότες πρώην σοὶ καὶ νῦν τὰ πρὸς αὐτὸν ἀπεστάλκαμεν ἡμέτερα γράμματα,*

---

3 - 4 *Τριβαλλοῖς* : Servii ; v. ep. 6,34.
15 *Ἀντώνιον* : cf. ep. 8,1.
20 *ἐκκλησιῶν... μητρί* : ecclesia Constantinopolitana, sedente adhuc Ioanne Caleca patriarcha, i.e. ante 1347. II. 2.
*8*. Inscriptio : *Athanasio;* epp. 6,30 ; 7.
1 *Ἀντώνιον* : ep. 7,15.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*ἐπειδή σε ἀνθ' ἡμῶν αὐτῶν εὐτυχοῦμεν αὐτόθι, ὡς ἄν, εἰ μὲν αὐτὸν ἔτ' ἐκεῖ τὰ γράμμαθ' εὕροι διάγοντα, διὰ τῆς σῆς εὐμενείας λαβεῖν αὐτῷ ταῦτα γένηται καὶ μὴ διαπεσεῖν πως. εἰ δὲ μὴ φθάσαι τοῦτον, τοῖς ἄλλοις ἐμφανισθῇ τῶν φίλων. χρήσιμον γὰρ καὶ μάλιστα τὰ τοῦ Κυπρίου φιλοσόφου γράμματα οἷς ὄντως φιλόσοφος ἀνὴρ καὶ ζηλωτὴς εὐσεβείας τελεώτατος δείκνυται, τὴν Παλαμναίαν νόσον παντὸς μᾶλλον ἐκ τῆς ὑπερορίας βάλλων καὶ σχετλιάζων καὶ βοῶν « ὦ τῆς ἀσεβείας » τοῖς γράμμασιν ἐπὶ τῷ πλῆθος θεοτήτων ἀνίσων εἰσάγοντι καὶ τῷ μηδενὶ ταῦτα μέλειν τῶν τῇδε, λόγοις ἐμβριθέσιν ἀνελεῖν |*
f. 47v *τὸ παράπαν, ἀλλ' ἡσυχάζειν μὲν τοὺς ἐν λόγοις δοκοῦντας τὰ μέγιστα δύνασθαι τὸ δὲ δόγμα καθάπερ ἰὸν ἐπιβόσκεσθαι τὸ ποίμνιον τοῦ Χριστοῦ, ἕνα δὲ μόνον — ἐμὲ δὴ λέγων — ζῆλον θεῖον ἀναλαβόντα ἀντιστῆναι τῷ δόγματι καλῶς μὲν καὶ ὀρθῶς, μαλακωτέρως δέ φησιν ἢ ὡς ἔδει πρὸς τοὺς τοιούτους ἀντιστῆναι τῶν λόγων. ᾧ δὴ καὶ μᾶλλον ἥσθην ἢ εἴ με μηδεμίαν ἔφασκεν ὑπερβολὴν ἀφεῖναι τοῦ τοιούτου πολέμου. καίτοιγε οὐκ εἰδότος ἐστὶν ὁ λόγος ὅλον τὸ ἡμέτερον πρᾶγμα. οὐ γὰρ ἂν ᾤεθ' ἡμᾶς μαλακῶς ἀντιστῆναι τῷ δόγματι τούς γε μέχρις αἵματος ὑπὲρ τοῦ ὀρθοῦ καὶ εὐσεβοῦς κινδυνεύσαντας. ἀλλ' ὅμως χάριν ἔχω τοῦ λόγου θαυμαστὴν τῷ Λαπίθῃ — τοῦτο γὰρ ὄνομα τῷ φιλοσόφῳ — ἐπὶ τῷ λόγῳ τούτῳ, αἰσχύναντι τοὺς διὰ τοῦτο φιλονεικίαν ἐπεγκαλοῦντάς μοι. οὓς οὐ δεῖν φησιν οὕτως ἔχειν περὶ τῆς εὐσεβείας μηδὲ περιορᾶν φθειρομένην τὴν ἐκκλησίαν· πάντα γὰρ εἶναι πρὸς ἓν τοῦτο πάρεργα Χριστιανοῖς, καὶ ταῦτα τοῦ δυσσεβοῦντος ἀμαθοῦς ἄγαν ὄντος καὶ μηδὲ τὰς πρώτας ἀρχὰς τῆς φιλοσοφίας εἰδότος, μηδὲ τί ἐστιν ἐπιστήμη καὶ ὅπως γίνεσθαι πέφυκεν ἐπισταμένου, ὡς αὐτὸς ἐξ αὐτῶν τοῦ Παλαμᾶ τῶν λόγων μαρτυρεῖ μαθεῖν ὁ φιλόσοφος. δεῖ δὴ ταῦτα καὶ τοὺς αὐτόθι λόγων τροφίμους καὶ εὐσεβείας ἰδεῖν, καὶ θαυμάσαι μὲν τὴν σοφίαν, θαυμάσαι δὲ τὴν εὐσέβειαν καὶ τὴν ἑκατέρωθι τοῦ ἀνδρὸς εὐεξίαν καὶ ῥώμην καὶ τὸν ἀγῶνα τὸν ὑπὲρ εὐσεβείας καθ' ὃν οὐ μόνον αὐτὸς πῦρ πνεῖ κατὰ τῶν δυσσεβούντων, ἀλλὰ καὶ τοὺς ἐνθάδε δυνάμει διαφέροντας λόγων ἐπὶ τὸν κατὰ τούτων πόλεμον παρακαλεῖ καὶ θαυμαστῶς συγκροτεῖ. τοιοῦτον ἄρα ψυχὴ ἧς διὰ βάθους ἦλθε σοφία τε καὶ εὐσέβεια. διὸ χρὴ δήπου ταῦτα καὶ ἰδεῖν καὶ θαυμάσαι τοὺς ἡμετέρους σοφούς· τὰ γὰρ καλά, καὶ μάλισθ' ὑφ' ὧν τὸ θεῖον δοξάζεται καὶ εὐσεβεῖται θαυμάζεσθαι δίκαια. ἰδόντων μὲν οὖν καὶ ἄλλοι ταῦτα, ἰδέτω δὲ καὶ ὁ θαυμάσιος Μάγιστρος καὶ ὁ σοφὸς Κυδώνης καὶ ὁ ἱερὸς καὶ θεῖος ἐν ἱερομονάχοις Ματθαῖος ὁ ἐν τῇ τοῦ θεσπεσίου Ἰσαὰκ*

---

6 *Κυπρίου* : Georgius Lapitha, ep. 1,29.35.
35 *Μάγιστρος* : ep. 4.
35 *Κυδώνης* : Demetrius ?
36 *Ματθαῖος* : ep. 5,85.
36 - 37 *Ἰσαὰκ... μονῇ* : Fr. Miklosich - Ios. Müller, Acta et diplomata graeca medii aevi, t. II, Vindobonae, 1862, p. 235 n⁰ 481 ( 1395 ? ), M. Lasca-

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*ἱερωτάτῃ μονῇ τὴν ἀρετὴν μετιών. σὺν οἷς καὶ ὁ θεσπέσιος δικαιοφύλαξ Βρυέννιος, αἰσχύνης δὲ ἕνεκα τῆς ἑαυτοῦ καὶ ὁ τὸ τῶν θεοτήτων πλῆθος τεθαυμακὼς Χαρατζᾶς καὶ εἴ τις ἄλλος αὐτῷ παραπλήσιος.*

## 9

## *Μαξίμωι τῶι Καλοφέρωι*

MAXIMO LASCARI CALOPHERO, MONACHO

*Constantinopoli (?), 1350 - 1351*

Maximum obiurgat quod nuper (mense scilicet Septembri anni 1350) rectam patribusque traditam fidem abiuraverit, et ipsum Acindynum roserit ac maledictis incessiverit ; monetque et obsecrat ut quam primum pravae palinodiae damna sarciat, novam recinendo, eamque laudabilem.

(f. 44v) *ιε΄. Τὸ μὲν ἐμοὶ χαλεπαίνειν καὶ μέμφεσθαι καὶ πᾶν ὅ τι οὖν ἢ λέγειν ἢ καὶ ποιεῖν με φλαῦρον, ἀνδρὸς ἂν εἴη πρᾶγμα ἢ ἀδικοῦντος, ἂν ταῦτα πράττῃ τόν γε πράττειν οὐ δίκαιον, ἢ μὴ φιλοσοφοῦντος μὴ μέντοι μηδ᾽ ἀδικοῦντος, ἂν ἀμύνηται τὸν προηδικηκότα. τὸ δὲ ἀμύνεσθαι μὲν ἐθέλειν τὸν δυσμενῆ, οὐ μᾶλλον δὲ ἐκεῖνον ἢ ἑαυτὸν οἷς ἀμύνοιτο βλάπτειν περὶ τὰ* f. 45 *καιριώτατα, σὸν ἰδεῖν τίνος ἂν εἴη | πρᾶγμα. σὺ τοίνυν δυσμενῶς ἐμοῦ μεμνημένος, ὥς ἔοικεν, εἶτα δι᾽ ἐμὲ καὶ τὴν καλὴν ὁμολογίαν προδιδούς, ἧς ἀρτίως προΐστασο καὶ πάλαι παρὰ τῶν θείων πατέρων κεκληρονόμηκας, σκόπει μὴ ἐμὲ μὲν ἧττον ἧς ἀμυνόμενος, σαυτὸν δὲ τελεώτατα βλάπτων, καὶ ταῦτα ἑκών, διὰ μικροψυχίαν. εἰ μὲν γὰρ ἐξ ἀγνοίας καὶ ἀμαθίας τὰ τοιαῦτα ἡμάρτανες, ἧττον ἂν ἦν τὸ δεινόν. νῦν δέ, εἴπερ τις, τὴν ἀλήθειαν εἰδὼς καὶ πολλοὺς μὲν ἀγῶνας ὑπὲρ αὐτῆς ἀνύσας, πολλοὺς δὲ καὶ μέλλων καὶ κομιδῇ προθυμούμενος, ἐκτὸς τοῦ μικροψυχεῖν διὰ φαύλας αἰτίας, εἶτα διὰ τοῦτο μὴ μόνον τοὺς εὐσεβεῖς ἀγῶνας, ἀλλὰ καὶ τὴν ὁμολογίαν αὐτὴν ὡς λέγεται παραιτούμενος τῆς εὐσεβείας, καὶ φιλονεικίαν ὀνομάζων τὸ ἡμέτερον πρᾶγμα, οὐκ οἶδ᾽ ὅ τι δεινὸν καταλείπεις νομίζειν, οὐδ᾽ ὅπως ἐμὲ μᾶλλον ἢ σαυτὸν ὅπερ εἶπον ὑπολαμβάνεις κακοῦν. εἰ δὲ μηδὲ σαυτὸν μόνον ἀλλὰ καὶ πολλοὺς ἄλλους συνεμπεσεῖν ποιήσεις εἰς τὸν αὐτόν σοι βόθρον, περὶ τὸ θεῖον ὄντος τοῦ πταίσματος, τίς τούτῳ θρῆνος τῷ πταίσματι καὶ*

---

r i s, in Τόμος Κωνσταντίνου Ἀρμενοπούλου, Thessalonicae, 1952, p. 320 - 331. Idem in Ἀρχαιολογικὴ Ἐφημερίς, 2 (1953 - 1954), p. 8, ut ipse me monuit. Cf. etiam G. M e r c a t i, Studi Bizantini, 2 (1927), p. 240.

38 *Βρυέννιος* : epp. 2 ; 5,147.

39 *Χαρατζᾶς* : ep. 2,4 ; 3,9.18-19.21.

*9.* Inscriptio : *Μαξίμωι ;* v. ep. 6.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

*κοπετὸς ἱκανὸς γένοιτ᾽ ἄν ποτε; οὐ ταῦτα ἦν, ὦ θαυμάσιε, τὰ τῇ σῇ φύσει πρέποντα, οὐχ οὗτος ἧς αὐχεῖς ἐπιστήμης φυσικὸς καὶ οὐσιώδης καρπός, ἀλλὰ τῆς ἐναντίας, καὶ ἀπειράκις ἀπείρως διαφέρων ἐκείνου. δεῖ γάρ με διαλεχθῆναί σοι ἀπὸ τῆς καινῆς φιλίας καὶ ἀστεΐσασθαί γε πρὸς τὴν καινήν σοι χάριν, εἰ καὶ θρηνῶ τρόπον ἕτερον. ἀλλ᾽ ἐγὼ λυπηρός τις καὶ ὑπερόπτης τῶν φίλων καὶ τῶν ἑλκτικῶν ἰύγγων ἀμέτοχος, αἷς τοὺς πολλοὺς ἡ καινότης θηλύνουσα καινὸν ἐργαστήριον ἀσεβείας ἐδημιούργησεν, ὅ φησιν ὁ Θεολόγος; οὔπω λέγω τοῦτο μὲν ἀρετὴν ἐκεῖνο δὲ κακίαν εἶναι δοκεῖν τοῖς ἱεροῖς πατράσι, καὶ τοῖς οἷος σὺ τὴν εὐφυΐαν καὶ παίδευσιν αἰσχρὸν αἱρεῖσθαι ὅλως τὸ δεύτερον. ἀλλ᾽ εἰ δίκην ἐγὼ δίκαιος διὰ τοῦτο διδόναι οὐ παραιτοῦμαι· ὑβριζέσθω Γρηγόριος — ὅπερ οὖν δὴ καὶ πάσχει — καὶ προπηλακιζέσθω, καὶ εἰ βούλει τυπτέσθω, καὶ ὅλως πᾶσαν τὴν δοκοῦσαν δίκην τιννύτω τοῖς ἀδικεῖσθαι νομίζουσι, μὴ μαθὼν γλωττοστροφεῖν καὶ πᾶσιν ἡδὺς εἶναι καὶ δημοχαρὴς ὑπὲρ τὸν Ὀδυσσέα, ἀλλ᾽ ἁπλοῦν ἦθος καὶ ἀποίητον φέρων καὶ μόνου τοῦ εὐθέος φροντίζων καὶ τιμῶν μὲν τοὺς φίλους καὶ ἀγαπῶν εἴπερ τις, κολακεύειν δὲ ἀφυὴς ὢν εἴπερ τις. εἰ ταῦτα ἀπαίδευτα, καὶ ἀδικήματα περὶ τοὺς φίλους ἐμά, ἐμὲ μὲν ὡς εἶπον ἀπαιτείτωσαν οἱ* f. 45v *φίλοι τὴν ἐπὶ τούτοις δίκην. Θεὸς δὲ | μὴ ἀδικείσθω, μηδ᾽ ὁ τῆς εὐσεβείας λόγος, μηδ᾽ ὁ γενναῖος καὶ σοφὸς ἡμῖν Μάξιμος. ἄλογον γάρ, ἵν᾽ εὐφήμως εἴπω, καὶ αὐτὸς ὁ ἔσχατος τῆς ἀδικίας ὅρος. εἰ μὲν οὖν οὐ κακῶς ταῦτα λέγεται, πεπαύσθω τὰ νῦν ὑπὸ σοῦ κηρυττόμενα, καὶ φανείτω πάλιν Ἀχιλλεὺς ἐν τοῖς Ἕλλησι μετὰ τῶν ὅπλων. εἰ δ᾽ οὐκ εὐφυῶς οὐδὲ πεπαιδευμένως, διδότω δίκην καὶ τούτων Γρηγόριος, ἀλλὰ μὴ ὁ τῆς ἀληθείας ἀτιμαζέσθω λόγος. πάντως δὲ πεπαύσθω Θεὸς βλασφημούμενος τῇ κακῇ παλινῳδίᾳ τοῦ γενναίου Μαξίμου, καὶ μηδ᾽ αὐτὸς ἐπαινούμενος ὁ τὴν παλινῳδίαν ᾄδων.*

---

22 *ἀπειράκις ἀ.*: verba Maximi Confessoris, a Gregorio Palama eiusque discipulis identidem usurpata ; e.g., P.G., t. 152, col. 1247A12-13 (1341. VII).

23 *καινῆς φιλίας*: A.D. 1350, mense septembri, Maximus Calopherus monachus Acindynum repudiavit et professus est doctrinam Palamae, ab ecclesia Constantinopolitana probatam ; P.G., t. 152, col. 1307D - 1308A.

27 Greg. Naz., Or. XXVII (theol. I) cap. 9 : P.G., t. 36, col. 24A 12 et app. crit.

32 *γλωττοστροφεῖν*: Aristoph., Nub. 792.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186

# NOMINA PROPRIA QUAE IN EPISTULIS OCCURRUNT


Ἄθως 6,24.
Ἀθανάσιος ( μοναχός ) 6,36.
Αἰγύπτιοι 4,3.
Ἀλέξανδρος ( ὁ μέγας ) 1,31.33.
Ἀντιγενίδης 1,32.
Ἀντώνιος ( ἱεροδιάκονος ) 7,15 ; 8,1.
Ἀντιοχείας ( ὁ ) 5,103.
Ἄρειος 4,28.31 ; 5,23.58.62.
Ἀριστείδης 2,17-18.
Ἀσιανοὶ ἐπίσκοποι 5,90.
Ἀχελῷος 6,3.
Ἀχιλλεύς 6,5 ; 9,40-41.

Βρυέννιος 2 ; 5,117 ; 8,38.
βασίλισσα 5,83.
βασιλεύς 5,111.

Γεώργιος ( ὁ Λαρισαῖος ) 1,51.
Γρηγόριος ( ὁ Ἀκίνδυνος ) 6,50 ; 9,30.42.
Γρηγόριος ( ὁ Θεολόγος ) 5,36.

Δαυίδ 5,37.
δέσποινα 5,112.
Δωριεῖς 1,17.

Ἕλληνες 2,18 ; 4,26.52 ; 5,22.23.42-43 ; 6,6 ; 9,41.
Ἑλληνισμός 4,27.28.
Ἐκκλησία ( ἡ μεγάλη ) 5,118.

Ἡρακλῆς 6,17.

Θεμιστοκλῆς 2,16.
Θεολόγος ( Γρηγόριος ὁ ) 9,30.
Θεσσαλονικεῖς 1,40.53-54.
Θεσσαλονίκη 1,50.52 ; 7,4.
Θεσσαλονίκης ( ὁ ) 1,42 ; 5,74.

Ἰσίδωρος ( ὁ Μονεμβασίας ) 1,14.45.52.55 60.
Ἱεροσολύμων ( ὁ ) 5,103.
Ἰνδοὶ 4,2.
Ἰσαακίου μονή ( ἡ ἐν Θεσσαλονίκῃ ) 8,37.
Ἰωάννης ( ὁ Θεολόγος ) 5,37.

Κορινθίων, Κορίνθου ( ὁ ) 1,28 34.
Κυδώνης 8,35.
Κύπρος 1,28.

Λαπίθης ( Γεώργιος ) 1,29.35 ; 8,6.
Λαυριῶται 6,21-22.

Μάγιστρος 4 ; 8,35.
Μακεδόνιος 4,28.31 ; 5,24.
Μάξιμος ὁ Καλόφερος 6 ; 9.
Μασσαλιανοί 1,48 ; 4,36 ; 5,4.67.
Ματθαῖος ( μοναχός ) 5 ; 8,36.
Μῆδοι 2,17.
Μονεμβασίας ( ὁ ) 1.

Νεῖλος ( ποταμός ) 4,3.

Ὁδηγητρίας μονή 1,41.
Ὀδυσσεύς 9,37.
Ὄρος ἱερόν 1,50 ; 5,113.

Παλαμᾶς ( Γρηγόριος ) 1,25 ; 5,41.55.62.75.78.84.92.108 ; 6,14.44.46.
παλάμια, παλαμῖτις, παλαμναῖος 1,13.26.36.44 ; 2,4 ; 4,60-61 ; 6,23.42.
Παλαμῆται, -ῖται 5,17 ; 6,13-14 ; 7,10.
πατριάρχης ( ὁ οἰκουμενικός ) 5,70.
Πελοπόννησος 1,12.
πόλις ( ἡ Κωνσταντίνου ) 6,1.
Πορινὴ ( προφῆτις ) 1,58.

Σαβέλλιος 4,33.
Σειρῆνες 6,4.

Τριβαλλοί 6,34 ; 7,3-4.

Ὑάκινθος ( ὁ Θεσσαλονίκης ) 1,41.

Φοῖνιξ ( ὄρνις ) 4,1.

Χαβάρων 3,7-8.
Χαρατζᾶς 2,4 ; 3,9.18-19.21 ; 8,39.


RAYMUNDUS J. LOENERTZ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/05/2024 00:50:10 EEST - 3.147.56.186